*gift of* *The estate of*
*Hans Paret*

LELAND STANFORD JUNIOR UNIVERSITY
ORGANIZED 1891

STANFORD UNIVERSITY LIBRARIES

Dexippus

In categorias dubitatio

# MONUMENTA SAECULARIA.

HERAUSGEGEBEN

VON DER

KÖNIGLICH BAYERISCHEN AKADEMIE DER WISSENSCHAFTEN

ZUR

FEIER IHRES HUNDERTJÄHRIGEN BESTEHENS

AM 28. MÆRZ 1859.

## I. CLASSE.

2. **L. SPENGEL:** DEXIPPI PHILOSOPHI PLATONICI IN ARISTOTELIS CATEGORIAS DUBITATIONES ET SOLUTIONES.

**MÜNCHEN.**
IN COMMISSION BEI G. FRANZ.

Dexippus, the Platonist

# ΔΕΞΙΠΠΟΥ

ΦΙΛΟΣΟΦΟΥ ΠΛΑΤΩΝΙΚΟΥ

ΕΙΣ ΤΑΣ

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΚΑΤΗΓΟΡΙΑΣ

## ΑΠΟΡΙΑΙ ΚΑΙ ΛΥΣΕΙΣ.

GRAECE

EDIDIT

**LEONARDUS SPENGEL.**

MONACHII M. D. CCC. LIX.
TYPIS CAROLI ROBERTI SCHURICH.

PA3965
D119 E5
1859

# Lectori S.

Dexippum historicum eundem esse atque philosophum Tzetzes Chil. IX, hist. 274 censet

*Δέξιππος ὁ φιλόσοφος, μύστης ὢν Ἰαμβλίχου,*
*πολλὰ μὲν συνεγράψατο καὶ ἕτερα βιβλία,*
*ὧν τῷ ἑνὶ ἐνέτυχον τῷ εἰς κατηγορίας.*
*ἔγραψε δὲ καὶ Σκυθικά, ἃ μέχρι νῦν οὐκ οἶδα,*
*καὶ ἕτερα ὡς εἴρηκα, μόνον τὸ ἓν δ' ἀνέγνων —*

sequiturque Ang. Maius Nov. Collect. tom. II. p. 346, quod ab Eunapio historicus *ἀνὴρ ἁπάσης παιδείας τε καὶ δυνάμεως λογικῆς ἀνάπλεως* dicitur. At neque dictio nostri habet quod cum illa conveniat, et initium libri hominem qui philosopham artem, non historicam profiteretur fuisse docet, ut non sine ratione verba *πλατωνικοῦ φιλοσόφου* addita sint.

Aliorum dubitationes et solutiones in Aristotelis categorias in hoc volumen congessit, cuius primus liber in universum disputat, secundus *οὐσίαν*, tertius cuius minima pars restat, *ποσότητα* tractat; reliqua igitur omnia interciderunt. Simplicio autor noster non ignotus, haec enim tradit in limine commentarii: *καὶ Δέξιππος δὲ ὁ Ἰαμβλίχου καὶ αὐτὸς μὲν τὸ τοῦ Ἀριστοτέλους βιβλίον συντόμως ἐξηγήσατο, προηγουμένως δὲ τὰς Πλωτίνου ἀπορίας ὡς ἐν διαλόγῳ προτεινομένας αὐτῷ διαλύειν προτι-*

θεται, οὐδὲν δὲ οὐδὲ οὗτος σχεδὸν τοῖς Πορφυρίου καὶ Ἰαμβλίχου προστεθεικώς. sed egregie fecit ille doctissimus Aristotelis interpres, qui fontes ipsos aggressus et autorum nomina qui in singulis philosophi verbis haerebant, nobis traderet.

Graeca Dexippi verba — nam latine a Feliciano ex libro Sangermanensi nostro simili, qualis est Laurentianus LXXI, 33 apud Bandinium III, 21, versus Venetiis a. MDXLVI apud Hieronymum Scotum excusus est — ex cod. Par. Sang. 332 (S) adhibito Regio 1941 (R) descripta V. D. Ludovicus Maria Ernestus Sahune anno MDCCCXXX misit Friderico Creuzero nostro, qui qua erat animi liberalitate et candore has schedas nobis ut perlustraremus et publicaremus concessit.

# Δεξίππου φιλοσόφου Πλατωνικοῦ τῶν εἰς τὰς Ἀριστοτέλους κατηγορίας ἀποριῶν τε καὶ λύσεων.

α. Διὰ τί πολλοὶ εἰς τὰς Ἀριστοτέλους κατηγορίας ἠπόρησαν;

β. Διὰ τί κατηγορίας ἐπέγραψε τὸ βιβλίον;

γ. Τίνος ἐστὶν ἡ κατηγορία σημαντική, πότερον φωνῆς ἢ πράγματος;

δ. Πῶς χρὴ τὰς κατηγορίας εὑρίσκειν καὶ μὴ ὑπάγεσθαι ταῖς τῶν Στωϊκῶν ἀπορίαις;

ε. Διὰ τί περὶ τῶν κατηγοριῶν λέγειν ἐπαγγειλάμενος οὐκ ἀπ' ἐκείνων ἄρχεται, ἀλλὰ τῶν ὁμωνύμων καὶ συνωνύμων;

ς. Διὰ τί Ἀρχύτας ἐν τοῖς καθόλου λόγοις περὶ ὁμωνύμων καὶ συνωνύμων καὶ παρωνύμων οὐκ εἴρηκε;

ζ. Διὰ τί οὐ πάντα τὰ χρήσιμα προέγραψεν, ἀλλὰ καὶ ἕτερα μετὰ τὴν τῶν κατηγοριῶν ἀπόδοσιν ἐπήνεγκεν;

η. Διὰ τί περὶ πρώτων τῶν ὁμωνύμων εἶπεν;

θ. Διὰ τί περὶ ὁμωνυμίας μᾶλλον οὐκ εἴρηκεν;

ι. Διὰ τί προσέθηκε τὸ μόνον, λέγων ὧν ὄνομα μόνον κοινόν;

ια. Πῶς πολλῶν τοῖς ὁμωνύμοις ὄντων κοινῶν ἐπὶ τοῦ ὀνόματος εἶπε μόνον τὸ κοινόν;

ιβ. Ὅτι οὔτε κατὰ τὸ ἀδιαίρετον κοινὸν οὔτε κατὰ τὸ διῃρημένον κοινὸν ὑπάρχει τὸ ὄνομα τοῖς ὁμωνύμοις.

ιγ. Ἄλλη ἀπορία πρὸς τὸ κοινόν.

---

2. Ἀρ. κατηγορίας] κατηγορίας τοῦ Ἀριστοτέλους S. — λύσεων] adde πρῶτον· κεφάλαια τοῦ πρώτου βιβλίου. — 5. πράγματος] adde ἢ νοήματος. — 12. μετὰ] πρὸς S. — 14. περὶ πρώτων] *primum de* Felic. — 18. τὸ] abundat. — 19. ὅτι] ἔτι S.

ιδ. Ἄλλη ἀπορία πρὸς τὸ κοινόν.

ιε. Ὅτι περιττῶς προσέθηκε τὸ ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος.

ις. Διὰ τί οὐκ εἶπεν ὅρος τῆς οὐσίας ἀλλὰ λόγος;

ιζ. Ὅτι δύναται τὰ ὁμώνυμα εἶναι συνώνυμα.

ιη. Πῶς τοῦ ὁμωνύμου ἐν πάσαις ταῖς κατηγορίαις θεωρουμένου ὁ λόγος αὐτῶν τὰ ἐν τῇ οὐσίᾳ μόνῃ ὁμώνυμα περιορίζει;

ιθ. Διὰ τί μετὰ τὰ ὁμώνυμα τὰ συνώνυμα ἔταξεν;

κ. Ὅτι ἡμάρτηται τὰ κατὰ συμπλοκὴν καὶ ἄνευ συμπλοκῆς λεγόμενα.

κα. Ὅτι κατὰ τὴν ἐνυπογραφὴν τοῦ ἐν ὑποκειμένῳ δύναται τὸ σῶμα εἶναι ὡς ἐν ὑποκειμένῳ τῷ χρόνῳ.

κβ. Ὅτι εὑρίσκεται τὰ ἐν ὑποκειμένῳ μέρη τῆς οὐσίας.

κγ. Ὅτι ὁ λόγος ὁ τῶν ἐν ὑποκειμένῳ κοινός ἐστι καὶ τῶν μὴ ἐν ὑποκειμένῳ.

κδ. Ὅτι αἱ εὐωδίαι ποιότητες οὖσαι καὶ ἐν ὑποκειμένῳ χωρισταί εἰσιν.

κε. Ἀπορίαι πλείονες πρὸς τὴν ἰδιότητα τῶν καθ' ὑποκειμένου φερόμεναι, καὶ τούτων δὲ λύσεις.

κς. Ὅτι οὐχ ὡς καθ' ἑτέρου λέγεται τὸ γένος τοῦ εἴδους.

κζ. Διὰ τί ὁ μὲν ἄνθρωπος κατὰ Σωκράτους, τὸ δὲ εἶδος οὐκέτι;

κη. Πῶς ἐνίας καὶ πῶς πάσας καὶ ποίας ἑκατέρως λέγει κατηγορεῖσθαι τὰς τοῦ κατηγορουμένου διαφορὰς καὶ τὰς τοῦ ὑποκειμένου;

κθ. Ὅτι τινὰ ὄντα γένη ἕτερα ταῖς αὐταῖς διαφοραῖς χρῆται.

λ. Ἀπορίαι καὶ περὶ τοῦ ἑτερογενοῦς.

λα. Τί εἶδος, τί διαφορά, καὶ πῇ διέστηκεν αὐτὰ ἀπ' ἀλλήλων;

λβ. Πόθεν ἡ εὕρεσις τοῦ εἴδους καὶ γένους καὶ τῆς διαφορᾶς;

λγ. Πῶς εἶπεν ἕτεραι τῷ εἴδει καὶ αἱ διαφοραί;

---

1. ἄλλη . . κοινὸν om. S. — 2. Ἔτι S et sic ubique in seqq. capitibus. — post λόγος S ἔτι εὑρίσκεται . . οὐσίας ex cap. 22. — 10. τὸ] τῷ S. — 11. χρόνῳ] *loco et tempore* Felic. — 13. ὑποκειμένων S. — 14. μὴ ὑποκειμένων R. — 16. πρὸς] τῶν πρὸς S. — 20. fort. ἑκατέρας. — 22. γένει S. ἕτερα] διάφορα R. — 24. διέστηκε τοῦτο R. — 25. γένους καὶ εἴδους S. τῆς om. R.

λδ. Πῶς τὸ ἄτομον καὶ ἓν ἀριθμῷ λέγεται;
λε. Πῶς δύναται ὁ εἷς καὶ ἄτομος τοῦ ἑνὸς καὶ ἀτόμου ἀριθμῷ διαφέρειν;
λϛ. Ὅτι οὐ πλεονάζει ἡ τῶν κατηγοριῶν τομή.
λζ. Ὅτι οὐκ ἐλλείπει ἡ τῶν κατηγοριῶν τομή.
λη. Ὅτι ἄλλα ἀντὶ ἄλλων οὐκ εἰσάγει τὰ τῶν κατηγοριῶν γένη.
λθ. Ὅτι τὸ ὂν οὐχ ὁμώνυμον ἀλλὰ συνώνυμον.
μ. Ὅτι τὸ ἔστιν ἤτοι ἑκάστης κατηγορίας κατηγοροῦμεν, καὶ οὕτως ἐπ' ἄπειρον προβησόμεθα, ἢ εἰ ἐγκέκλιται ἀπὸ τοῦ ὄντος γένος ἂν εἴη τὸ ὄν.

---

9. ἐγκέκλιται] ἐγκέκληται R. ἐγκέκλεισται S.

*Δεξίππου Πλατωνικοῦ φιλοσόφου εἰς τὰς Ἀριστοτέλους κατηγορίας ἀποριῶν τε καὶ λύσεων τὸ πρῶτον. ἔστι δὲ διαλογικὸν τὸ σύγγραμμα καὶ τὰ τοῦ διαλόγου πρόσωπα αὐτὸς οὗτος Δέξιππος καὶ Σέλευκος.*

**Ὄκνος τις ἔχει με μάλα καλὴν καὶ γενναίαν χάριν αἰτῆσαι προθυμούμενον, ὦ τῶν καλῶν ἐμοὶ καθηγητὰ Δέξιππε, ἐπεὶ δὲ Ἡσιόδῳ λέγοντι πείθομαι**

**Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,**

**θαρσῶν διαλεχθῆναι περὶ αὐτῆς βούλομαι.**

**Ἀλλ' ἔγωγε καὶ πάλαι μὲν ἐθαύμαζον, ὦ καλὲ κἀγαθὲ Σέλευκε, ὅτι τηλικοῦτος ὢν εὐμαθίᾳ καὶ πραότητι διαφερόντως ἐκλάμπεις, ἐμβριθῶς τε πρὸς τὰς μαθήσεις ἀπαντᾷς, ἀσφαλῶς τε καὶ ἀπταίστως ταύτας φυλάττεις, ὑπὸ δὲ ἀγχινοίας καὶ ὀξύτητος κινούμενος πολὺ τοὺς ἄλλους ὑπερπηδᾷς ταῖς ἐρωτήσεσι, καὶ νῦν δὲ ἕτοιμός σοι πείθεσθαι σπουδαίως ἔχοντι περὶ τὰ μαθήματα. οὐδενὸς μὲν γὰρ τῶν ἐκ τῆς ἀγαθῆς τύχης ἐνδεῶς ἔχεις, ἀλλὰ καὶ τὰ ἐκ γένους καὶ δόξης ὑπάρχει σοι, ὅσα μηδενὶ τῶν καθ' ἡμᾶς. ἐπαινῶ δέ σου τήν τε τῆς φύσεως ἐπιτηδειότητα πρὸς πάντα ἀνηγμένην τὰ καλά, καὶ ὅτι τῶν μὲν ἄλλων τῶν ἔξωθεν ὑπαρχόντων ὑπερφρονεῖς, παιδείας δὲ ἐρᾷς καὶ τοῦ μανθάνειν ἀκορέστως ἔχεις, ὥστε ὅ τι βούλει τῶν εἰς λόγους ἡκόντων ἐπίταττε.**

---

1—4. titulum om. S. — 2. ἔστι] ἔτι R. — 6. Ἡσιόδῳ] Op. v. 315. — 9. διαλεχθῆναι om. S. καὶ om. S. — 12. ἐμβριθός S. μαθήσεις.] προμαθήσεις S. — 18. ἀνεγμένην S.

*Διαίτησον δὴ τοῖς εἰς τὰς Ἀριστοτέλους κατηγορίας ἠπορημένοις, καὶ τὰ ἀμφισβητούμενα διαλῦσαι πειράθητι.*

*Μέγα μὲν τὸ ἐπίταγμα, ὦ φίλη καὶ τιμιωτάτη κεφαλή, καὶ οὔτι μοι νῦν ἐπιτελεσθῆναι ῥᾴδιον. ἥτε γὰρ ἐπὶ Διϊφίλῃ τῇ θυγατρὶ συμφορὰ τῇ σοφῇ τε καὶ καλῇ βαρεῖά μοι καὶ χαλεπὴ φαίνεται. τί γὰρ οὐ δεῖ τἀληθῆ λέγειν; καὶ τὸ σῶμά μοι νόσοις ἐκτέτηκεν· ἡδέως μὴν σοι πείθομαι, πόῤῥωθεν δὲ ὥσπερ οἱ δειλοὶ τῶν ἀγωνιστῶν ὁμολογεῖν ἔγνωκα, ὅτι Πλωτίνῳ τῷ Πλατωνικῷ φιλοσόφῳ ἀντιλέγειν χαλεπὸν οὕτω βαθέως ἠπορηκότι. Οὐ μὴν ἀλλὰ καὶ πρὸς δαίμονά περ κατὰ τὸν Ὁμηρικὸν ἥρωα σὴν χάριν ὁρμᾶν οὐκ ὀκνῶ, σὺ δέ μοι ξυλλαμβάνου τοῦ λόγου τὰς κατὰ μέρος ἐξηγήσεις μηδαμῶς ἀπαιτῶν· πολλὰς γὰρ καὶ ἀπείρους ξυγγραφὰς εἰς τὸ βιβλίον τοῦτο ἄλλοι τε πολλοὶ καὶ μάλιστα Πορφύριος, εἶθ᾽ ὕστερον Ἰάμβλιχος καταβέβληνται καὶ τῷ πλήθει δυσλήπτους. Ἵν᾽ οὖν μὴ ταὐτὸν ἐκείνοις πάθωμεν, μόνα τὰ ἀπορούμενα ἐρώτα· οὐ γὰρ ὥσπερ λείποντι προσθῆσαι διανοοῦμαι, οὐχ οὕτω τετύφωμαι, ἀλλὰ ταχείας καὶ συντόμους καὶ σαφεῖς τὰς λύσεις ἀποδοῦναι βούλομαι. δεῖ δὲ τὸν μέλλοντα τὰς ἀπορίας ταύτας ἀναγνώσεσθαι τῶν κατηγοριῶν νενοηκέναι πρῶτον τὰ ἐδάφια ἀκριβῶς τὰ κατὰ λέξιν, ἐπεὶ οὐδὲν τῶν ἐνταῦθα λεγομένων εἴσεται.*

1. *Τί οὖν ποτε ἦν ἄρα τὸ ποιῆσαν τοὺς παλαιοὺς φιλοσόφους ποικίλας καὶ παντοδαπὰς ἐσχηκέναι πρὸς ἀλλήλους ἔριδας περὶ τούτου τοῦ Ἀριστοτελικοῦ συγγράμματος, ὃ δὴ καλοῦμεν κατηγορίας; σχεδὸν γὰρ κατανενόηκα, ὡς οὔτε πλείους ἀντιλογίαι εἰς ἑτέραν ὑπόθεσιν γεγόνασιν, οὔτε μείζους ἀγῶνες κεκίνηνται οὐ μόνον τοῖς Στωϊκοῖς καὶ Πλατωνικοῖς σαλεύειν ἐπιχειροῦσι ταύτας τὰς Ἀριστοτέλους κατηγορίας, ἀλλὰ*

---

4. *διϊ φίλη* R. *διιφιλὴ* S. om. Felic. Num *Διφύλλῃ?* — 5. *τε* om. S. — 6. *ἡδέως*] *ὅρα τὸ ἐπιεικὲς τοῦ φιλοσόφου* mrg. R. — 10. *Ὁμηρικὸν*] *περὶ Διομήδους ταῦτά φησι.* R. mrg. imo Il. *ρ.* 104. — 12. *ἀπείρους* om. S. — 15. *μόνον* S. — *λεῖπόν τι προσθεῖναι?* — 16. *σαφεῖς καὶ συντόμους* S. — 19. *ἐπεὶ*] fort. *εἰ δὲ μή*, vel *ἐπεὶ ἄλλως*. — 25. *ταύτας ἐπιχειροῦσι* S.

καὶ αὐτοῖς γε τοῖς Περιπατητικοῖς πρὸς ἑαυτούς; τοῖς μὲν μᾶλλον ἐφικνεῖσθαι τῆς διανοίας τἀνδρὸς ὑπειληφόσι, τοῖς δ' εὐπορώτερον λύειν οἰομένοις τὰ παρ' ἑτέρων ἀπορούμενα.

Ὅτι, ὦ φιλομαθέστατε Σέλευκε, περὶ τῶν πρώτων καὶ ἁπλῶν λέξεων ὧν αὗται σημαίνουσι, σκοπός ἐστι ἐν τούτῳ τῷ βιβλίῳ. ἐπειδὴ τοίνυν ὁ λόγος πᾶσι τοῖς εἴδεσι τῆς φιλοσοφίας χρήσιμος, τούτου δὲ ἀρχαὶ αἱ ἁπλαῖ λέξεις καὶ τὰ ὑπὸ τούτων σημαινόμενα, εἰκότως πολλὴ γέγονεν ἀμφισβήτησις περὶ τοῦ καλῶς ἢ μὴ καλῶς Ἀριστοτέλη διειληφέναι περὶ αὐτῶν.

Ἀλλὰ δὴ τί βούλεται αὐτῷ ἡ ἐπιγραφὴ καὶ τὸ τῶν κατηγοριῶν
z. ὄνομα; οὐ γὰρ δήπου παραστῆσαι ἐθέλει, πῶς ἐν τοῖς δικαστηρίοις ἄνθρωποι μέμφονται. τῇ γὰρ κατηγορίᾳ ἡ ἀντίκειται ἡ ἀπολογία, τοῦτο ὄνομα τέταχεν ἡ τῶν Ἑλλήνων διάλεκτος, ὥστε εἰκότως ἄν τις αὐτὸν αἰτιάσαιτο, ὅτι ξενίζει τοῖς ὀνόμασι.

Πολλαὶ μὲν οὖν, ὦ Σέλευκε, πρὸς ταύτην τὴν αἰτίαν ἀπαντήσεις φέρονται ὑπὲρ Ἀριστοτέλους, καὶ ταύτας ἔξεστιν ἀναλέγεσθαι ἔκ τε τῶν Ἀλεξάνδρου καὶ Πορφυρίου. ἐγὼ δὲ τὰς μὲν πλείους παρήσειν ἔοικα, τὴν δὲ φαινομένην εἶναί μοι βαθυτέραν ἐκθήσομαι. οὐ γὰρ συνεξισάζει τοῖς πράγμασι τὰ ὀνόματα, οὐδὲ τὴν αὐτὴν ἔχει φύσιν καὶ τάξιν τὰ σημαινόμενα τοῖς σημαινομένοις, ἀλλὰ πάμπολυ τῶν πραγμάτων ἐλαττοῦται ἡ τῶν ὀνομάτων σημασία. ἀνάγκη δὴ πᾶσα τοῖς φιλοσόφοις ἢ χρῆσθαι ξέναις λέξεσι καὶ τῶν συνηθῶν ὀνομάτων ἀπηλλοτριωμέναις, ἐπειδὴ καὶ τῶν τοῖς πολλοῖς ἀγνώστων πραγμάτων εἰσὶν ἐξηγηταί, ἢ τῇ προχείρῳ χρῆσθαι συνηθείᾳ, καὶ τὰ ἐπ' ἄλλων κείμενα ὀνόματα μεταφέρειν. ἐπεὶ γὰρ σύμβολα καὶ σημεῖα τῶν πραγμάτων τέθειται τὰ ὀνόματα, τοῖς μὲν πᾶσι γνωρίμοις ἀνάγκη ἦν ἤδη κεῖσθαι ὀνόματα ἃ ταῦτα σημαίνει, ὅσα δ' ἐπιστημονικὰ τῶν πραγμάτων, παρὰ τῶν ἐπιστημόνων ἀπῄτει τὴν θέσιν. Οὕτως οὖν καὶ ὁ

---

2. ὑπειληφόσι] Sahunius, ὑπειλήφασι R., ἀπειλήφασι S. — 8. ἀριστοτέλει R. 11. θέλει S. — 20. καὶ] τε καὶ S. — 20. σημαινόμενα] scrib. σημαίνοντα. Felic. vertit τοῖς σημαίνουσιν. — 25. σύμβολα καὶ] συμβολικὰ S.

*Ἀριστοτέλης ὅτὲ μὲν ξενοφωνεῖ τῇ θέσει τῶν ὀνομάτων, ὥσπερ ἐπὶ τῆς ἐντελεχείας αὐτὸς ὀνοματοποιήσας ταύτην, ὅτὲ δὲ ἐκ τῶν κατὰ τὴν συνήθειαν παρακειμένων τὰ σημαντικὰ καὶ στατικὰ τοῦ προκειμένου εἰς διδασκαλίαν πράγματος μεταφέρει, ὥσπερ δὴ καὶ νῦν ἐπὶ τοῦ τῆς κατηγορίας ὀνόματος πεποίηκε. τοῦ γὰρ κατηγορεῖν ἐπὶ τοῦ μετ' αἰτίας ἐγκαλεῖν παρὰ τοῖς πολλοῖς κειμένου μετήνεγκεν ὁ φιλόσοφος τοῦτο ἐπὶ τοῦ κατά τινος ἁπλῶς σημαίνοντός τι διὰ τῆς λέξεως. δείκνυσι τοίνυν ἡ τῆς κατηγορίας ἐπιγραφή, ὅτι καὶ τὰ γένη καὶ τὰ εἴδη καὶ πάντα τὰ καθόλου κατηγορεῖται κατὰ τῶν ὑφ' ἑαυτοῖς ὄντων, καὶ αἱ σημαντικαὶ λέξεις αἱ κοιναὶ καταγορεύονται κατὰ πασῶν τῶν ὑποτεταγμένων μερικῶν λέξεων.*

3. *Ἀλλ' ὅτι μὲν αἱ κατηγορίαι ὠνομάσθησαν ἀπὸ τοῦ καταγορεύεσθαι, ὅπερ ἐστὶ λέγεσθαι κατά τινος ὑποκειμένου, καλῶς ἅμα καὶ βραχέως ἐδίδαξας· καὶ γὰρ εἴπερ ἄλλου τινὸς καὶ τῆς συντομίας φροντιστέον, ἵνα μὴ εἰς τὴν αὐτὴν τοῖς προειληφόσιν ἀπειρίαν ἐμπέσωμεν· ἐπεὶ δὲ ἄπορον φαίνεταί μοι, τί ποτέ ἐστι τὸ λεγόμενον, πότερον φωνὴ ἢ πρᾶγμα ἢ νόημα, τοῦτό μοι σαφῶς ἐπιδεῖξαι πειράθητι.*

*Ἔδει μὲν συντόμως ἀποκρίνασθαί με πρὸς τὴν ἐρώτησιν, ὅτι προηγουμένως σημαίνεται τὰ νοήματα, κατὰ συμβεβηκὸς δὲ καὶ τὰ πράγματα· ἐπεὶ δὲ πολλὴ περὶ τῶν λεγομένων ἐστὶν ἡ ζήτησις, πλείω κἀγὼ περὶ τῶν λεγομένων εἰπεῖν βούλομαι· καὶ γὰρ Σωσιγένης ὁ Περιπατητικὸς παραλλήλους ἐπιχειρήσεις περὶ τῶν λεγομένων ἀντεξήτασεν, οὐ μὴν περὶ μιᾶς γε αὐτοτελῶς ἀπεφήνατο, ἀλλ' ἰσομαχοῦντας ἀφῆκε τοὺς λόγους. βούλομαι δὲ καὶ τὰ ἐκείνου ἐπισκέψασθαι καὶ τελευταίαν τὴν ἐμαυτοῦ δόξαν ἐπαγαγεῖν. ἐπιχειρῶν δὴ περὶ τῶν πραγμάτων καὶ βουλόμενος ταῦτα εἶναι τὰ λεγόμενα ἐφόδῳ τινὶ τοιαύτῃ*

---

2. *αὐτὴν* S. — 3. *στατικὰ* om. S. *καὶ στατικὰ* om. Felic. — 4. *φέρει* S. — 7. *τοῦ . . σημαίνοντος*] scrib. *τὸ . . σημαῖνον.* — 9. *κατὰ* om. S. *αὐτοῖς* S. — 12. *ὑπὸ* S. — 15. *ἀπορίαν* S. — 16. *μοι φαίνεται εἶναι* S. *τί . . τὸ λεγόμενον*] fort. *τίνα . . τὰ λεγόμενα.* — 18. *πρὸς τὴν ἐρώτησιν* om. S. — 19. *καὶ* om. R. 20. *πλείονα* R. — 22. *ἀντεξέτασιν* S. — 23. *γε*] *τε* R S. — 24. *δὲ*] *δὴ* R. — 26. *τοιαύτη* om. R.

κέχρηται· εἰ γὰρ τοῦ λέγειν καὶ τοῦ μὴ λέγειν κύριά πως ἐστὶ τὰ πράγματα, καὶ μὴ ὄντων μὲν οὐδὲν λέγομεν, ὄντων δὲ ἀποφαινόμεθα, ταῦτα ἂν εἴη τὰ λεγόμενα. πρὸς δὴ τοῦτο εἴποιμ' ἂν ὡς οὐδὲν κωλύει αἴτια εἶναι τοῦ λέγειν τὰ πράγματα, μὴ μέντοι προσεχῶς ὅπερ νῦν ζητοῦμεν, ταῦτα εἶναι τὰ λεγόμενα. καὶ γὰρ τοῦ πυρέττειν, φέρε, αἰτία ἐστὶν ἡ ἡλίωσις καὶ τοῦ ὀδυνᾶσθαι ἡ τῆς βελόνης νύξις, ἀλλ' οὔτε ἡ βελόνη ἐστὶν ἐν τῇ ὀδύνῃ, οὔτε ἡ ἡλίωσις ἐν τῷ πυρέττειν. τῶν γὰρ αἰτίων ἃ μέν ἐστιν ἔξω χωριστά, ἃ δὲ συμπάρεστιν, ὥστε δύναται μὲν καὶ τὰ πράγματα αἴτια εἶναι τοῦ λέγειν, οὐ μὴν αὐτὰ εἶναι τὰ λεγόμενα, καὶ γὰρ καὶ περὶ μὴ παρόντων πραγμάτων λέγομεν καὶ περὶ γεγενημένων καὶ περὶ μελλόντων, ἔδει δὲ τοῦ λόγου ὄντος περὶ αὐτῶν καὶ τὰ πράγματα εἶναι. εἰ δὲ οὐ συνυφέστηκε τῷ λόγῳ τὰ πράγματα, οὐκ ἂν εἴη ταῦτα τὰ λεγόμενα· καὶ γάρ ἔστι λέγειν καὶ ἀνύπαρκτα, οἷον ἱπποκενταύρους καὶ τραγελάφους. λέγουσι δὲ λόγους καὶ οἱ μαινόμενοι καὶ οἱ παράφρονες, ὥστε εἴπερ τὰ λεγόμενα ἦν τὰ πράγματα, κἀκεῖνοι ἂν κατὰ πραγμάτων ἔφερον τὸν λόγον, καὶ οὐδὲν ἂν μὴ ὑφεστηκὸς ὠνομάζομεν. ἔτι φησὶν, εἰ ἀληθὴς ὁ λόγος καὶ ψευδὴς ἐκ τῶν πραγμάτων, οὐκ ἂν δύναιτο ἄλλο μὲν εἶναι τὸ λεγόμενον, ἄλλο δὲ τὸ ποιοῦν τὸ ψεῦδος καὶ τὸ ἀληθές, ὥστε ταῦτα ἂν εἴη τὰ λεγόμενα, ἅπερ αἴτιά ἐστι τοῦ αὐτοτελοῦς λόγου. τούτῳ τῷ ἐπιχειρήματι χρώμενος ὁ Σωσιγένης θαυμάζω πῶς οὐ συνεῖδεν, ὡς εἰ μὲν πᾶς λόγος ἀληθὴς ἦν ἢ ψευδής, ἔδοξεν ἀντιλέγειν κατασκευάζων ὅτι τὰ πράγματά ἐστι τὰ λεγόμενα· εἰ δέ ἐστί τις λόγος μήτε ἀληθὴς μήτε ψευδής, ἔστι δὲ λέγειν καὶ κατὰ μηδενὸς ὑποκειμένου φερόμενον, πῶς ἐστι τούτῳ τῷ ἐπιχειρήματι διϊσχυρίζεσθαι; ἔπειτα ἄλλο μέν ἐστι τὸ περὶ πράγματος λέγειν καὶ ποιεῖν περὶ αὐτοῦ

---

2. ὄντος . . ὄντος S. — 3. κωλύοι S. — 4. πράγματα om. S. — 5. πυρέσσειν S. — 11. γενημένων (sic) R. — 12. περὶ] τοῦ παρ' R. — 16. τὰ om. R ante πράγματα. — 17. μὴ om. S. — 18. δύναιτο] δύναται τὸ R. — 21. θαυμάζω] bis S. — 23. τὰ om. R. — 26. ποιεῖν] ποιεῖν τι S.

ἀληθῆ ἢ ψευδῆ λόγον, νῦν δὲ ζητοῦμεν τίνα ἐστὶ τὰ λεγόμενα. πρὸς τούτοις ἔστω καὶ τὸ πρᾶγμα αἴτιον τοῦ ἀληθοῦς καὶ ψευδοῦς λόγου, ἀλλ' οὐ διὰ τοῦτο ἐξ ἀνάγκης ἀκολουθήσει τὸ τὰ πράγματα εἶναι τὰ σημαινόμενα· δύναται γὰρ καὶ γίνεσθαι μέν τις, εἴγε τις συγχωρήσειεν, ἀληθὴς ἢ ψευδὴς λόγος διὰ ταῦτα, ἄλλα δέ τινα εἶναι τὰ ὑπὸ τοῦ λόγου σημαινόμενα· οὐ γὰρ ἐπεὶ δεκτικός ἐστι τοῦ ἀληθοῦς ἢ ψευδοῦς ὁ λόγος, διὰ τοῦτο ἐκ τῶν πραγμάτων ἢ ἀληθὴς ἢ ψευδὴς γεγένηται. κατὰ συμβεβηκὸς μὲν γὰρ αὐτῷ ὑπάρχει τὸ ἀληθεῖ εἶναι ἢ ψευδεῖ, κατ' οὐσίαν δὲ τὸ σημαίνειν τόδε τι προηγουμένως. ἀλλ' ἔστι φησὶ καὶ μετὰ τὸ λεχθῆναι τὰ πράγματα, οἷον ἵππος φέρε ἢ βοῦς ἢ λίθος, εὔδηλον, ὅτι ταῦτά ἐστι τὰ σημαινόμενα· οὐ γὰρ ἂν ἦν παυσαμένου τοῦ λόγου. καίτοι τὸ ἐναντίον εἴποιμ' ἄν, ὅτι οὕτως οὐκ ἔστι τὰ λεγόμενα τὰ πράγματα, οὐδὲ πρὸς πρῶτα αὐτὰ ὁ λόγος ἔχει σχέσιν. ὁ μὲν γὰρ λόγος ὁ περὶ αὐτῶν λέγων παρῆλθε, τὰ δὲ πράγματα μένει· εἰ δὲ ἦν τὰ σημαινόμενα τὰ πράγματα, ἔδει κἀκεῖνα μὴ εἶναι τοῦ λόγου παρελθόντος. νῦν δὲ ὁ μὲν λέγων ἔστι καὶ ἀκούων, ἐὰν οὕτω τύχῃ, τὰ δὲ πράγματα περὶ ὧν ὁ λόγος οὐκ ἔστι. καίτοι εἰ τὸ ποιοῦν ἀναγκαῖον εἶναι τότε, ὅτε καὶ τὸ πάσχον πάσχει, ἀνάγκη καὶ τὸ λεγόμενον εἶναι τότε ὅτε καὶ τὸ ἀκοῦον ἀκούει· εἰ δὲ ἔστι μὲν ὁ λέγων καὶ ὁ ἀκούων, τὰ δὲ πράγματα οὐκ ἔστιν, ὅταν περὶ τῶν γεγενημένων ὁ λόγος ᾖ, πῶς οἷόν τε τὰ πράγματα εἶναι τὰ σημαινόμενα; περὶ μὲν δὴ πραγμάτων οὕτω διειλήφαμεν· ἂν δὲ λέγῃ τις ὅτι ἡ λέξις ἐστὶν ἡ λεγομένη· καὶ γὰρ καὶ πλείους δύνανται ταύτης ἀκούειν, καὶ δύναται καὶ ὄντων καὶ μὴ ὄντων πραγμάτων εἶναι καὶ λέγεσθαι, ἐροῦμεν ὅτι ἄλλο μέν ἐστι τὸ διὰ ταύτης σημαίνεσθαί τι, ἄλλο δὲ τὸ αὐτὴν ταύτην ὑπό τινος σημαίνεσθαι. εἰ μὲν γὰρ τὸ τῇ

---

1. ἢ] εἴτε (ἢ superscr.) R. ἢ καὶ S, in cuius mrg. ἄλλο δέ ἐστιν αὐτὸ τὸ πρᾶγμα λέγειν· οὐ γὰρ ποιεῖ τοῦτο ἀληθῆ ἢ ψευδῆ λόγον. — 5. εἶναι om. S. τὰ om. R. — 7. ψευδὴς ἢ ἀληθὴς S. — 8. ἢ ψευδεῖ εἶναι S. — 10. φέρε om. S. — 11. ἂν om. S. παυσάμενοι R. — 13. τὰ ante πράγματα om. S. — 19. ἀκούει] ἀκούειν S. — 20. ὁ post καὶ om. S. — 24. ὄντων] fort. ὄντων τῶν — εἶναί τε καὶ S. — 25. ταύτῃ S. — 26. δὲ αὐτὴν S.

φωνῇ προφέρειν τοῦτο ὑπειλήφαμεν εἶναι τὸ λέγειν, αἱ λέξεις λέγονται, ἐπεὶ διὰ φωνῆς προφέρονται· εἰ δὲ τὸ ὀνομάζειν τὸ ὄνομα οὐκ ἔστι λέγειν, ἀλλὰ διὰ τοῦ ὀνόματος ἄλλο τι, οὐδ' ἂν τὸν λόγον εἴη λέγειν, ἀλλὰ ἄλλο τι διὰ τοῦ λόγου, ὥστε νῦν ζητοῦμεν τί ἐστὶ τὸ σημαινόμενον διὰ τοῦ λόγου, οὐ τί διὰ τῆς φωνῆς προφερόμεθα. ἀλλ' ὥσπερ φησὶ τὸ βαδίζειν τοῦ βαδίζοντός ἐστιν ἐνέργεια, καὶ τὸ γράφειν τοῦ γράφοντος, οὕτω καὶ τὸ λέγειν τοῦ λέγοντος, ὁ δὲ λέγων λόγους καὶ μόρια τοῦ λόγου διέρχεται, καὶ ταῦτα ἂν εἴη τὰ λεγόμενα. ἀλλὰ φήσαιμ' ἂν ὡς ἄλλο ἐστὶν ἐνέργεια, ἄλλο τὸ ὑπὸ τῆς ἐνεργείας ἀποτελούμενον· οὐ γὰρ τὸ οἰκοδόμημα ταὐτόν ἐστι τῇ ἐνεργείᾳ τοῦ οἰκοδόμου, οὐδὲ τὸ ζωγράφημα ταὐτὸν τῇ ἐνεργείᾳ τοῦ ζωγράφου, ἀλλ' ἕτερα τὰ ἀποτελέσματα, ὥστε καὶ τὸ λέγειν ἐνέργημα ὂν τοῦ λέγοντος ἄλλο ἔχει τὸ ὑπὸ τοῦ ἐνεργήματος σημαινόμενον. πάλιν φησὶν ὅτι τὸ λέγειν ἀπὸ τῆς λέξεως καὶ τοῦ λόγου παρωνύμως εἴρηται, ὥστε καὶ οὕτω συμβαίνοι ἂν τὰς λέξεις εἶναι τὰ λεγόμενα. καὶ ἀπ' αὐτοῦ δὲ τούτου ἐλέγχοιτ' ἂν τὸ νῦν ζητούμενον. εἰ γὰρ παρωνύμως ἀπὸ τοῦ λόγου τὸ λέγειν εἴρηται, οὐκ ἂν τοὺς λόγους λέγοιμεν, εἴπερ μήτε τὴν βάδισιν βαδίζομεν, μήτε τὴν ὑγίειαν ὑγιαίνομεν, μήτε τὰς πράξεις ἢ τὰς ποιήσεις πράττομεν ἢ ποιοῦμεν. πάλιν οἱ τὰ ἀμφίβολα προφερόμενοι καὶ τὰ ὁμώνυμα ἕνα μὲν λόγον λέγουσι, πλείονα δὲ σημαίνουσιν, ὥστ' οὐκ ἂν εἶεν αἱ λέξεις αἱ σημαινόμεναι. ἔτι ὅταν ἀσαφῶς τις εἴπῃ, τῶν μὲν ὀνομάτων ἀκούομεν, ἃ δὲ λέγει φαμὲν μὴ συνιέναι, ὥστε οὐκ ἂν εἴη τὰ ὀνόματα τὰ λεγόμενα καὶ σημαινόμενα, ἀλλὰ ἄλλο τι. τί δ' ἂν εἴποιμεν περὶ τῶν ἀσήμων φωνῶν, ὁπότε ἡ μὲν λέξις λέγεται, οὐδὲν δὲ σημαίνει; πάλιν ἐπὶ τῶν πολυωνύμων πλείω μὲν τὰ ὀνόματα ἓν δὲ τὸ πρᾶγμα, ὥστε εἰ μὴ τὸ αὐτό

1. **προφέρειν**] Sahunius, **προσφέρειν** libri. — 2. **προσφέρονται** R — 3. **οὐδ' ἂν . . ἄλλο τι** om. S. — 5. **προσφερόμεθα** S. — 9. **ἐνέργεια καὶ ἄλλο** S. — 11. **τῶν ζωγράφων** R. — 12. **καὶ** om. S. **ἐνέργημα ὂν τοῦ λέγοντος** post **σημαινόμενον** S. — 13. **ἄλλο**] **ἕτερον** S. — 15. **καὶ οὕτω συμβαίνοι**] **συμβαίνει** S. — 22. **ἃ**] **ὃ** S. — 25. **δὲ** om. S.

ἐστι ταῖς λέξεσι τὸ πρᾶγμα, ἄλλο τι ἂν εἴη παρ' αὐτὰ τὰ λεγόμενα. ταῦτα μὲν δὴ οὕτως ἑκατέρωθεν γεγύμνασται· μόνα δὲ σημαινόμενα οἱ ἀρχαῖοι λέγουσι τὰ νοήματα, ἐπειδὴ περὶ τῶν πραγμάτων ἐστὶ ταῦτα καὶ ἀπὸ τῶν πραγμάτων. προηγουμένως μὲν τὰ νοήματα, κατὰ δεύτερον δὲ λόγον καὶ τὰ πράγματα σημαίνεται· οὐ γάρ ἐστι τὸ ἀληθὲς ἢ ψεῦδος ἐν τοῖς πράγμασιν, ἀλλ' ἐν διανοίᾳ καὶ ἐν ταῖς διεξόδοις τοῦ νοῦ. λέγει γοῦν αὐτὸς Ἀριστοτέλης ἐν τῷ τρίτῳ τῶν περὶ ψυχῆς οὕτως, ἡ μὲν τῶν ἀδιαιρέτων νόησις οὔτε ἀληθὴς οὔτε ψευδής, ἐν οἷς δὲ ἤδη τὸ ψεῦδος καὶ τὸ ἀληθές, σύνθεσίς τις ἤδη τῶν νοημάτων. τὰ νοήματα ἄρα ἐστὶ τὰ πρώτως σημαινόμενα καὶ λεγόμενα· περὶ γὰρ τῶν γεγονότων καὶ τῶν μὴ ὄντων νοήσεις ἡμῖν γίνονται, ἃς ἑρμηνεύοντες λέγομεν. καὶ ψευδὴς καὶ ἀληθὴς λόγος οὐκ ἂν γένοιτο, εἰ μὴ ἐκ τῶν νοημάτων τὸ ἀληθὲς ἢ ψεῦδος ὁ λόγος δέξαιτο. πρῶτος γὰρ λόγος ὁ ἐν τῇ διανοίᾳ ἀφ' οὗπερ εἰκὸς καὶ τὸ λέγειν αὐτὸ καὶ τὸν ἐν τῇ φωνῇ λόγον προσαγορεύεσθαι. πάλιν αἱ ἀμφιβολίαι καὶ ὁμωνυμίαι καὶ πᾶσαι ὅσαι περὶ τὴν λέξιν ἀπάται γίνονται, τῷ νοήματα πλείω γίνεσθαι συμβαίνουσιν, ἐπειδὴ ἐπ' ἄλλο καὶ ἄλλο ἡ διάνοια πίπτει. εἰ οὖν ἓν μὲν τὸ ὄνομα νοήσεις δὲ τούτου πλείους, καὶ τὰ λεγόμενα πλείω. ἔστι δὲ τὸ αὐτὸ καὶ ἐκ τοῦ ἐναντίου ἀποδεῖξαι· κἂν γὰρ μέθην καὶ οἶνον εἴπω, κατ' ἄμφω μία ἐπίνοια, καίτοι ἕτερα τὰ ὀνόματα καὶ οὐ τὰ αὐτά· αἵ γε μὴν ἄσημοι φωναὶ ἄντικρυς διαῤῥήδην δεικνύουσιν, ὅτι τὰ νοήματά ἐστι τὰ σημαινόμενα· λέγομεν γὰρ τὸν τοιοῦτον μηδὲν λέγειν, ἐπειδὴ οὐδὲν νοεῖν ἐνδέχεται, οὔτε τὸν λέγοντα οὔτε τὸν ἀκούοντα κατὰ τὰς τοιαύτας φωνάς· τούς γε μὴν τερετίζοντας οὐδὲν φαμεν λέγειν τῷ μηδὲν εἶναι νοεῖν. ὅλως δὲ τὰ ἄλλα ζῶα οὐδεὶς ἂν εἴποι λέγειν, δηλονότι τῷ διανοίας μὴ κοινωνεῖν· ὥστε ἡμῖν γε ἐκ πάντων τούτων εὔδηλον

2. γεγυμνάσθω? — σημαινόμενα] fort. λεγόμενα καὶ σημαινόμενα. — 7. γοῦν] οὖν S. — τῶν om. R. — 8. ψυχῆς] III, 6. — 9. καὶ τὸ] τὸ om. R. cuius mrg. τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐν τοῖς νοήμασιν ὁρᾶται. — 10. τις om. S. — 14. ὁ λόγος om. S. — 18. ἓν om. S.

*εἶναι, ὅτι τὰ νοήματά ἐστι τὰ σημαινόμενα πρώτως, δευτέρως δὲ τὰ πράγματα. ἔστι γὰρ ἡ κατηγορία ἡ σημαίνουσα λέξις τὸ τοῦ Σωκράτους φέρε νόημα, οὐκ ἄλλως μέντοι τῆς Σωκράτους φαντασίας ἢ ὡς Σωκράτους, τοῦ μὲν νοήματος κινήματος ὄντος ἀμεροῦς καὶ ἁπλοῦ τῆς ψυχικῆς ἐνεργείας οὐκ ἐν πάθει θεωρουμένης, τῆς δὲ φαντασίας ἐν πάθει φανείσης, διεξόδου τινὸς οὔσης καὶ διανύσεως αὐτοῦ. οὐ λέγω δ' ὅτι ἡ διανόησίς ἐστι φαντασία· περὶ γὰρ τῶν ἀσωμάτων νοήσεις μέν εἰσιν, οὐκ εἰσὶ δὲ φαντασίαι, ἀλλ' ὅτι ὑποτρέχει ἡ φαντασία τὴν νόησιν. οὐκ αὐτὰ οὖν τὰ ὄντα αἱ κατηγορίαι, ἀλλ' αἱ σημαίνουσαι λέξεις τὰ νοήματα καὶ τὰ πράγματα. ὅταν γὰρ λέγωσι τὸ ζῶον κατὰ τοῦ ἀνθρώπου κατηγορεῖται, λέγουσιν ὅτι ἡ σημαντικὴ λέξις τοῦ ζώου ἥτις ἐστὶ τὸ ζῶον ὄνομα κατὰ τοῦ σημαινομένου νοήματος ὑπὸ τῆς ἄνθρωπος λέξεως καὶ τοῦ ὑποκειμένου τούτῳ πράγματος κατηγορεῖται. τὸ γὰρ κατηγορεῖσθαι τῶν σημαντικῶν φωνῶν ἦν ἴδιον αἳ σημαίνουσι τὰ νοήματα καὶ τὰ πράγματα.*

4. *Ἀλλὰ δὴ πῶς μέλλομεν διαγινώσκειν τὰς προτιθεμένας λέξεις, πότερον ὑπὸ τὰς κατηγορίας πίπτουσιν ἢ οὔ; δὸς οὖν τι κριτήριον, ἵνα τὰ μὴ ὑποπίπτοντα τῇ τῶν κατηγοριῶν διαιρέσει διακρίνωμεν.*

*Φημὶ δὴ ὅτι τὸ σημαντικὸν πᾶν γένος προϋπάρχειν δεῖ ὡς ὑποκείμενον, καὶ ἐν ἀρχαῖς τάξαι ἐν τῇ τοιαύτῃ διαιρέσει· οὐ γὰρ οἷόν τε ἐστὶν οὐδέποτε ἄνευ τοῦ τοιούτου τρόπου τῆς φωνῆς κατηγορεῖσθαί τι ὡς ἕτερον καθ' ἑτέρου. οὐκοῦν εἴ τι ἄσημόν ἐστι μόριον καθ' αὑτό, οἷον τὸ βλίτρι, ἢ κατὰ ἀναφορὰν ἐφ' ἕτερον σημαντικόν, ὡς αἱ οὕτω καλούμεναι ἐπαναφοραί, αἵτινες κατὰ τὴν ἐπὶ τὰ ἀόριστα μόρια ἀναφορὰν δηλοῦσί τι, ὡς ἡ ἐκεῖνος φωνὴ ἐπὶ τὸ τὶς ἀναγομένη, ἢ εἴ τι συσσημαντικὸν εἴη μεθ' ἑτέρου, ὡς τὰ ἄρθρα καὶ οἱ σύνδεσμοι, οὐδαμῶς τὰ τοιαῦτα ἐν ταῖς κατηγορίαις θείη ἄν τις δικαίως.*

---

1. *δεύτερα* S. — 2. *τοῦ* om. R. — 5. *ψυχικῆς*] Sahunius, *ψυχικῆς καὶ* R. *ψύχης καὶ* S. — 6. *αὐτῶν* S. — 9. *οὐκ αὐτὰ*] *οὐ κατὰ* R. — 20. *γὰρ* om. S. — 23. *βλίτυρι* S. mrg. R. *αἱ ἄσημοι φωναὶ καὶ αἱ ἐπαναφοραὶ καὶ αἱ συσσημαίνουσαι λέξεις οὐκ ἀνάγονται ὑπὸ κατηγορίας.*

*πάλιν τοίνυν μετὰ τῆς πρὸς τὸ πρᾶγμα σχέσεως καὶ τῆς κατὰ τὰ πράγματα διαφορᾶς βούλεται ἡ κατηγορία κυρίως εἰδοποιεῖσθαι, ἐπειδὴ προηγουμένως ἡ σημαντικὴ λέξις τῆς πρώτης ἔχεται χρείας τοῦ λόγου, καθ' ἣν τὰ πράγματα δηλοῦν ἀλλήλοις ἐφιέμεθα, οἷον ἡ μὲν ἄνθρωπος λέξις πρὸς οὐσίαν ἔχει τὴν σχέσιν, ἡ δὲ λευκότης πρὸς ποιότητα, καὶ αἱ ἄλλαι ὁμοίως. ἐὰν οὖν λέξις οὕτω σχηματισθῇ, ὡς μὴ τῆς πρώτης εἶναι σημασίας τοῦ λόγου, ἀλλὰ τοῖς οἰκείοις μέρεσι τὸν ἐπιβάλλοντα χαρακτῆρα ἀφορίζειν, ὡς διόθεν, οἴκοθεν, κάλλιστα, ὀρθότατα, σοφώτατα, ποιητικώτατα, ἢ κατὰ τὴν τῶν νοημάτων πρὸς ἄλληλα ἐπιπλοκήν, ὥσπερ ἐπὶ τῆς ἀκολουθίας τοῦ ὑποθετικοῦ, οἷον τοῦ εἰ ἡμέρα ἐστί, καὶ τῆς μάχης τοῦ διαιρετικοῦ, οἷον ἤτοι ἡμέρα ἐστίν, οὐκ ἂν γένοιτο λέξις οὐδ' ἡτισοῦν τούτων προσήκουσα ταῖς κατηγορίαις· ἅπασαι γὰρ αἱ τοιαίδε χρεῖαι τοῦ λόγου παντάπασιν ἀφίστανται τῆς τῶν κατηγοριῶν προηγουμένης πρὸς τὰ πράγματα συντάξεως. πάλιν εἴτις ἄῤῥητος εἴη κίνησις τῆς διανοίας, ὡς ἐπὶ τῶν στεναγμῶν καὶ βρυχημάτων, ἢ εἴτις ἄναρθρος ψόφος, ὡς ἐπὶ τῶν ποππυσμάτων, ἢ εἴ τις ἀφάνταστος φωνὴ ὡς ἐπὶ τῶν τερετισμάτων, ἢ εἴτι ὄνομα μηδὲν πρᾶγμα δηλώσειεν, οὐδαμῶς. οὐδὲν τούτων ἐστὶ κατηγορία· οὐδαμῇ γὰρ διασώζουσι τὴν ἰδιότητα τῆς κατηγορικῆς οὐσίας. ἔτι τοίνυν αἱ ἀνωτάτω τῶν γενῶν διαστάσεις, ἢ εἰ οὕτω τις βούλοιτο λέγειν, τῶν γενικωτάτων λέξεων οὐδὲν ἔχουσι κοινὸν πρὸς ἀλλήλας, οὔκουν οὐδὲν ἕξουσιν οὐσιῶδες ἐφ' ἑαυτῷ ὂν ἢ λεγόμενον κατηγόρημα ἕτερον ἀνωτέρω. κατὰ δὴ τοῦτον τὸν διορισμὸν δεῖ τοὺς ὀρθῶς θηρεύοντας τὰς κατηγορίας μήτε τὸ ὂν ὡς κοινὸν καθ' ὅλων ἀποδεικνύναι· εἰ δὲ μή, οὕτω οὐκέτι ἔσονται δέκα, ἀλλ' εἰς ἓν γένος συναχθήσονται, μήτε τὴν κίνησιν κατὰ τοῦ ποιεῖν καὶ πάσχειν ὡς κοινὸν κατηγορεῖν, οὐ γὰρ ἔτ' ἔσται δύο γένη ταῦτα, ἀλλ' ἓν τὸ συναμφότερον ἡ κίνησις. καὶ τὸ ἁπλοῦν καὶ ἀσύνθετον, ἐάν τέ τις ἐν τοῖς τῶν ὄντων γένεσιν αὐτὸ ἐπισκοπῇ, ἄν τ' ἐπὶ τῶν γενικωτάτων σημαν-*

---

8. **ὀρθώτατα** S. **σοφώτατα** om. S. — 11. **ἤτοι**] **εἴ τι** S. — 16. **ποπτυσμάτων** S. — 18. **οὐδαμοῦ** S. — 23. **ὀρθοὺς** S. — 24. **ὂν**] **ἓν** S.

τικῶν λέξεων, ἐάν τε καὶ συναμφοτέρως, πανταχῇ οὑτωσὶ τὸν χαρακτῆρα ἀφορίζει τῶν κατηγοριῶν. οὔτε οὖν τὰ σύνθετα, οἷον Δίων περιπατεῖ, οὔτε τὰ ὑποσύνθετα, οἷον ξυστρόπων, οὔτε τὰ κατὰ συγκοπὴν ἢ ἀποκοπὴν λεγόμενα, οὔτε τὰ πεποιημένα ὀνόματα, οὔτε τὰ παρεσχηματισμένα, οὔτε τὰ ἐπίθετα, οὐθ' ὅσα ποιητικῆς ἢ ῥητορικῆς ἴδια θεωρεῖν, οὐδαμοῦ προσήκει τι ταῖς κατηγορίαις· ἄλλης γὰρ θεωρίας τῆς περὶ τὴν λέξιν καὶ δευτέρας τὰ τοιαῦτα γινώσκειν. ἡ δὲ κατηγορία τὴν προηγουμένην σημασίαν βούλεται θηρεύειν τῶν λέξεων καὶ τὰς προηγουμένας οὐσιώδεις κοινότητας τῶν ὄντων, αἵτινες ἐν τοῖς ἀνωτάτω γένεσι θεωροῦνται, ἀλλ' οὐχὶ τὰς κατὰ συμβεβηκὸς ἄλλως θεωρουμένας δευτέρας κοινὰς ἐπινοίας. οἱ μὲν σχηματισμοὶ καὶ αἱ ἐπίνοιαι ἐπ' ἄπειρον δυνάμεναι προϊέναι ἄχρηστοί εἰσι πρὸς ἐπιστήμην, αἱ δὲ γενικαὶ σημαντικαὶ λέξεις ἢ αἱ τῶν πρώτων γενῶν περιλήψεις ἐν ἀπείρῳ τὸ πεπερασμένον παραδιδοῦσαι ἐμποιοῦσιν εἴδησιν ἀκριβῆ τοῦ τε λόγου ἐν ταὐτῷ καὶ τῶν ὄντων. διόπερ ταύταις χρηστέον [μάλιστα] ταῖς ἀφορμαῖς ὡς εἰκότως μάλιστα σπουδαζομέναις ὑπὸ τῶν τοῦ λόγου τε καὶ τῆς οὐσίας φιλοθεαμόνων. οὔτε ἄρα τὸ τροπικὸν ἢ μεταφορικὸν ὄνομα, ὡς τὸ ἀνεχαίτισεν, ἢ πόδα νείατον Ἴδης, ἀλλ' οὐδὲ οἱ τρόποι οἷον τὸ ἐξ ἀνάγκης καὶ ἐνδέχεσθαι ὑπάρχειν, οὔτε οἱ προσδιορισμοί, ὥσπερ τὸ πᾶς ἢ οὐδεὶς ἢ τὸ τὶς ἢ οὐχί τις ὑπὸ τὰς κατηγορίας ταχθήσεται· οὐδὲν γὰρ ὅτι τῶν τοιούτων ἀφωρισμένην ἰδίαν πραγμάτων ἔχει φύσιν. διόπερ ἄν τις αὐτὰ εὐλόγως ἀποδοκιμάσειεν ὡς οὐκ ἐφαρμόζοντα τῷ τῶν νῦν προειρημένων σκοπῷ τῶν κατηγοριῶν. οἶμαι τοίνυν καὶ τὸ πρὸς ἀλήθειαν βλέπον τοῦ λόγου καὶ ἐν ᾧ κυρίως τὸ ἀληθεύειν ἢ ψεύδεσθαι περιέχεται, τοῦτο προηγουμένως συναρμόζειν ταῖς κατηγορίαις. ὅσα δὴ οὖν δύναται μόρια τῆς σημαντικῆς φωνῆς εἰς κατηγορικὴν ἁπλῆν πρότασιν ληφθέντα τοὺς ὅρους ἐξ ὧν

---

1. συναμφοτέρων S. — 2. ἀφορίζῃ R. — 3. ξυστρόπων] *multifidus* Felic. — 6. τι om. R. — 7. περὶ] παρὰ R. — 12. ἐπίνοιαι om. S. — 14. παραδιδοῦσιν S. — 16. μάλιστα om. R. — σπουδασμέναις S. — 18. ἀνεχαίτισεν] Demost. p. 20, 27. — πόδα] Il. β, 824. — 20. πᾶς καὶ τὸ οὐδεὶς S. — 26. δὴ om. S.

συνέστηκε κυρίως ἀποτελεῖν, ταῦτ' ἂν εἴη τῶν κατηγοριῶν ἐχόμενα. ποιησώμεθα δὲ ὑπὲρ σαφηνείας κατ' ἐρώτησιν καὶ ἀπόκρισιν τὸν λόγον· πολλῆς γὰρ οὔσης περὶ τούτων ζητήσεως κάλλιον ἐνδιατρίψαι τῷ προκειμένῳ. ἐρώτα τοίνυν εἰ βούλει;

Τὸ ὂν ποίας ἐστὶ κατηγορίας;

Οὐδεμιᾶς;

Διὰ τί;

Ὅτι ὁμώνυμόν ἐστι κατὰ τῶν δέκα.

Τί δαί, τὸ ἓν ποίας ἐστὶ κατηγορίας;

Καὶ τοῦτο οὐδεμιᾶς.

Διὰ τί;

Ὅτι καὶ τοῦτο δεκαχῶς λέγεται ὁσαχῶς τὸ ὄν.

Τῷ δὲ ἑνὶ τὸ ἐναντίον πλῆθος. τίνος οὖν κατηγορίας τὸ πλῆθος;

Οὐδεμιᾶς.

Διὰ τί;

Ὅτι καὶ τὸ πλῆθος δεκαχῶς, οὐσία οἷον ἄνθρωποι, ποσὸν οἷον τριπήχεις, ποιὸν οἷον λευκοί, πρός τι οἷον πατέρες, καὶ ἐπὶ τῶν λοιπῶν.

Πάλιν δὴ τὸ μὴ ὂν ποίας κατηγορίας ἐστί;

Διττῶς λέγεται τὸ μὴ ὄν, τὸ μὲν πάσης τῆς φύσεως ἄρνησις ὅπερ ἐστὶ παντῇ μὴ ὄν, οὔτε οὐσία, οὔτε ποιόν, οὔτε ἄλλο τι τῶν λοιπῶν, ἢ τόδε τι μὴ ὄν, οἷον μὴ ποιόν, μὴ οὐσία, ἀλλ' ἄλλο τι οἷον πρός τι.

Ποίας οὖν ἑκάτερον μὴ ὂν κατηγορίας ἐστί;

Τὸ μὲν παντῇ μὴ ὂν οὐδεμιᾶς· ἀνύπαρκτον γάρ ἐστι, τὸ δέ τι μὴ ὂν δεκαχῶς καὶ αὐτὸ λέγεται, τὸ μὲν ὡς μὴ οὐσία, τὸ δὲ ὡς μὴ ποιόν, καὶ ἐπὶ τῶν λοιπῶν.

Τὸ δὲ ἔστι ποίας ἐστὶ κατηγορίας;

Καὶ τοῦτο οὐδεμιᾶς.

---

9. δαὶ] δὲ S. — 19. διττὸν S. — ἄρνησις] ἄρσις libri. — 20. οὔτε ἄλλο] οὐδὲ R. — 21. τι post τόδε om. R. — 24. αὐτὸ] τὸ αὐτὸ R. — 25. λοιπῶν] ἄλλων S. — 26. δὲ om. R. — 27. καὶ τοῦτο om. R.

*Διὰ τί;*

*Ὅτι ὁμώνυμόν ἐστι κατὰ τῶν δέκα.*

*Τὸ δὲ ταὐτὸν καὶ τὸ ἕτερον τίνος κατηγορίας ἐστί;*

*Καὶ τούτων ἑκάτερον δεκαχῶς λέγεται· ταὐτὸν γὰρ ἢ οὐσία πρὸς οὐσίαν ἢ ποιὸν πρὸς ποιὸν ἢ ποσὸν πρὸς ποσὸν καὶ ἐπὶ τῶν λοιπῶν. ἐὰν δὲ ἐναλλὰξ λαμβάνηται, πλείω ἔσται, οὐσία πρὸς ποσὸν καὶ οὐσία πρὸς πρός τι, καὶ ἐπὶ τῶν λοιπῶν. ἀλλὰ δέκα ταῦτα γίνεται σημαινόμενα, καὶ ἐὰν ἀπὸ τοῦ ποιοῦ, ἐννέα ἄλλα, ποιὸν πρὸς ποσόν, καὶ ποιὸν πρὸς πρός τι, καὶ ἀπὸ τοῦ ποιοῦ ὀκτώ, καὶ ἀπὸ τοῦ πρός τι ἑπτά, καὶ ἤδη ἐπὶ τῶν λοιπῶν κατὰ τὸ ἀνάλογον. ὁμοίως δὲ καὶ τὸ ἕτερον δεκαχῶς, ἡ οὐσία πρὸς οὐσίαν, ἢ ποιὸν πρὸς ποιὸν ἢ ποσὸν πρὸς ποσόν, καὶ ἐπὶ τῶν λοιπῶν. τὰ δὲ ἐναλλὰξ κατὰ τὴν αὐτὴν ἀναλογίαν πλείω.*

*Ἑκάστη δὲ τῶν κατηγοριῶν τι ἐστί;*

*Ναί.*

*Πῶς οὖν ἑκάστη τι;*

*Δεκαχῶς, τὸ μὲν ὡς οὐσία τί, τὸ δὲ ὡς ποιόν τί, ἡ δὲ ὡς ποσόν, ἡ δὲ ἐπὶ τῶν ἄλλων.*

*Ὁ δὲ ὅρος τὸ τί ἐστὶ δηλοῖ;*

*Καὶ μάλα.*

*Ποῖον δή τι;*

*Δηλοῖ ὁ ὅρος τὴν ὡς ἰδιότητα.*

*Ποίαν ἰδιότητα;*

*Καὶ αὕτη δεκαχῶς, ἡ μὲν ὡς οὐσίας ἰδιότης, ἡ δὲ ὡς ποσοῦ, ἡ δὲ ὡς πρός τι, ἡ δὲ ὡς ποιοῦ, καὶ ἐπὶ τῶν λοιπῶν.*

*Εἷς οὖν ἐστιν ὁ ὅρος;*

*Οὔ. ἀλλὰ καὶ οὗτος δεκαχῶς ὁσαχῶς καὶ τὸ ὄν.*

*Διὰ τί;*

---

2. ὅτι] *διότι* S. — 4. *γὰρ ἡ* S. — 5. *ἢ ποιὸν*] *καὶ ποιὸν* S. — *καὶ ἐπὶ . . πρὸς ποσὸν* om. S. — 16. *πῶς*] *ποσαχῶς*?

*Εἰ γὰρ ὁ ὅρος τὴν ἑκάστου ἰδιότητα παρίστησι, δεκαχῶς δὲ τὸ ὄν, δεκαχῶς καὶ ἡ ἰδιότης.*

*Ὁ δὲ ὅρος ἐκ γένους ἐστὶ καὶ ἰδίου, καὶ ποίου γένους καὶ ποίου ἰδίου;*

*Δεκαχῶς πάλιν καὶ τὸ γένος καὶ τὸ ἴδιον. ὅσαι γὰρ αἱ κατηγορίαι, τοσαῦτα γένη, καὶ ὅσαι κατηγορίαι τοσαῦτα ἴδια.*

*Διαφέρει δὲ γένος κατηγορίας;*

*Τῇ μέν, τῇ δὲ οὔ.*

*Πῇ μὲν διαφέρει καὶ οὐ διαφέρει;*

*Τῇ μὲν ἐπὶ ὑποκείμενον ἀναφορᾷ οὐ διαφέρει· τὰ γὰρ ὑποκείμενα δέκα εἰσί, καθόσον δὲ αἱ κατηγορίαι φωναί εἰσι, τὰ δὲ γένη φύσεις, διαφέρει. ὡσαύτως δὲ καὶ ἡ διαφορά. ἑκάστου γὰρ γένους ἐστὶ διαφορά, δεκαχῶς δὲ τὸ γένος, καὶ ἡ διαίρεσις δὲ γένους οὖσα εἰς εἴδη τομὴ δεκαχῶς ἂν εἴη, ὁσαχῶς καὶ τὸ γένος τέμνεται, καὶ τὸ εἶδος εἰς ἴσα τέμνεται.*

*Πῶς οὖν εἰ πολλαχῶς λέγεται τὸ γένος, ὅρον Ἀριστοτέλης δίδωσιν αὐτοῦ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον;*

*Ὅτι οὐδὲν κωλύει τῶν πολλαχῶς λεγομένων πολλαχοῦ ὅρον λεγόμενον ἀποδοῦναι· ὡς γὰρ τὸ γένος δεκαχῶς, καὶ τὸ ἐν τῷ τί ἐστι κατηγορούμενον πολλαχῶς.*

*Ἀλλ' εἰ τριχῶς ταὐτὸν εἴρηκεν Ἀριστοτέλης· ταὐτὸν γὰρ ἢ γένει ἢ εἴδει ἢ ἀριθμῷ, πῶς δεκαχῶς εἴρηται τὸ ταὐτό;*

*Ὅτι καὶ τῷ γένει ταὐτὸ δεκαχῶς, οἷον οὐσίᾳ μὲν ταὐτὸν ὡς ἄνθρωπος, ἵππος· γένει γὰρ τῷ ζώῳ ταὐτά. οὐσία δὲ τὸ ζῶον, ποσῷ δὲ οἷον γραμμή, ἐπιφάνεια· μεγέθει γὰρ ταὐτά ἐστι ποσά, πρός τι δὲ διπλάσιον, ποιῷ δὲ οἷον λευκόν, μέλαν· χρῶμα γὰρ ἑκάτερον τὸ αὐτό, καὶ ἐπὶ τῶν λοιπῶν. ὁμοίως δὲ τὸ εἴδει ταὐτὸν δεκαχῶς, ἢ τῇ οὐσίᾳ*

---

6. adde *τὰ* post *τοσαῦτα*, et *αἱ* post *ὅσαι*. — 9. *μὲν* ante *πῇ* om. S. — 11. *φωναὶ* om. S. — 12. *γένους*] *γένος* S. — 19. *κωλύοι* S. — *πολλαχοῦ*] *πολλαχῶς?* — 20. *δεκαχῶς* om. S. — 27. *οἷον* om. R. — 28. *δὲ*] *δὲ καὶ* S.

ἢ τοῖς λοιποῖς, καὶ τὸ ἀριθμῷ δὲ ὁμοίως. ὡσαύτως δὲ καὶ τὸ ἕτερον δεκαχῶς. εἰρηκότος δὲ αὐτοῦ εἶναί τι τριχῶς γένει εἴδει ἀριθμῷ λέγω ὅτι καὶ τὸ γένει ἕτερον καὶ τὸ εἴδει καὶ τὸ ἀριθμῷ δεκαχῶς. τὰ δὲ ὑποδείγματα δῆλα.

Τὸ διχῶς καὶ τριχῶς καὶ τὸ διχθὰ καὶ τὸ τριχθὰ εἰς ποίαν κατηγορίαν ἀνάξομεν;

Ἤδη πολλάκις εἰρήκαμεν, ὅτι τῶν λέξεων αἱ μὲν τῆς πρώτης ἔχονται σημασίας, αἱ δὲ εἰς τὴν δευτέραν ἀνάγονται χρείαν τοῦ λόγου, ἃς οὐκέτι προσποιεῖται ἡ τῶν κατηγοριῶν πρόθεσις. διὸ εἰ μέν τις καὶ ταύτας εἰς τὰς πρώτας ἀνάγοι νοήσεις, ἀφ' ὧν ὁρμηθεῖσα ἡ διάνοια κινήματα τοιαῦτα ἀπεγέννησε, τοῦ ποσοῦ λέγοι ἂν εἶναι ταῦτα· εἰ δὲ ἀποτέμνοιτο ταῦτα τῶν πρώτων νοήσεων, αἳ τοῖς πράγμασι συνήρτηντο, οὐκ ἀπαιτητέον τίνος ἂν εἶεν γένους τῶν κατηριθμημένων κατηγοριῶν.

Τὸ ὅλον καὶ τὸ μέρος εἰς ποίαν κατηγορίαν τάξομεν;

Τῆς δευτέρας τοῦ λόγου χρείας ἔχεται καὶ ταῦτα. χεὶρ μὲν γὰρ καὶ κεφαλὴ πρῶτα ὀνόματα, ὅτι δὲ ἡ χεὶρ καὶ ἡ κεφαλὴ μέρη ἐστὶν ὅλου καὶ ὡς μέρη ὀνομάζονται, δευτέρα κίνησις λεκτικῆς μηνύσεως. Σωκράτης μὲν γὰρ τῆς οὐσίας προσηγορία, ὅτι δὲ καὶ τὸ Σωκράτης ὄνομα, δευτέρα θέσις ὀνόματος ἐπὶ τῇ πρώτῃ. οὕτως οὖν ἔχει καὶ τὸ ὅλον καὶ τὸ μέρος, καὶ διὰ τοῦτο παραιτητέον εἰς τὰς κατηγορίας αὐτὸ ἀνάγειν· εἰ δ' ἄρα, πρός τι τοῦτο τάξομεν· ὅλου γὰρ μέρος τὸ μέρος καὶ τὸ ὅλον ἐκ τῶν μερῶν ὅλον.

Τὸ καθόλου καὶ τὸ καθάπαξ καὶ τὸ ἄρδην εἰς ποίαν κατηγορίαν ἀνάξομεν;

Ταῦτα τῶν κατηγοριῶν ἐξῄρηται· κατὰ μετοχὴν γὰρ πρώτων τινῶν καὶ ἀρχετύπων κατηγοριῶν ἀναφέρεται.

Τὸ ταὐτὸν καὶ τὸ ἕτερον καὶ τὸ ἴδιον καὶ τὸ ἀλλότριον καὶ τὸ

---

1. τὸ ἀριθμῷ Sahunius, τῷ ἀριθμῷ libri. — 3. τὸ ἀριθμῷ καὶ τὸ εἴδει S. — 5. καὶ τὸ τριχθὰ εἰς] τριχθᾶ τετραχθᾶ εἰ R. — 19. καὶ om. R. — 26. τῶν om. S. — ἐξήρτηται S. — 27. ἀναφέρεται] προέρχεται S.

κοινὸν καὶ τὴν ἀδιαφορίαν τήν τε ἀμφιβολίαν καὶ τὴν συνωνυμίαν ποῦ τάξομεν;

Εἴρηται μὲν ὅτι κατὰ πάσας ἕκαστον τούτων λέγεται· ἐπεὶ δὲ ὀνομάτων ἐστὶ καὶ τῆς δευτέρας ὄντα θέσεως τῶν ὀνομάτων φαίνεται, τῶν κατηγοριῶν ἐκπίπτει. ἤδη γὰρ πολλάκις εἰρήκαμεν, ὅτι αἱ κατηγορίαι κατὰ τὸ σημαντικὸν τῶν ἐν τοῖς οὖσι διαφορῶν ὑφίστανται· διὸ καὶ μᾶλλον ἀξιοῦμεν τὰ ἄτομα καὶ ἔχοντα δεῖξιν θεωρεῖν ὡς κυριώτερα ἐν ταῖς κατηγορίαις καὶ μᾶλλον ἀποπληροῦν αὐτῶν τὴν ἐπαγγελίαν δυνάμενα. τούτων τοίνυν διωρισμένων ἄξιον ἐπιστῆσαι πρὸς τὴν τελεωτάτην ἐπιστήμην ἀναφέροντας αὐτῶν τὴν εἴδησιν.

5. Τί δήποτε περὶ τῶν κατηγοριῶν εἰπεῖν προϊέμενος οὐ περὶ τούτων λέγειν ἄρχεται ἀλλὰ περὶ ὁμωνύμων καὶ συνωνύμων καὶ παρωνύμων, καίτοι ἐν ταῖς ἄλλαις συγγραφαῖς εἰωθὼς ἀεὶ τοῦ σκοποῦ ἔχεσθαι καὶ μηδὲν περαιτέρω τῶν εἰς τὴν ὑπόθεσιν τεινόντων λέγειν;

Ἐροῦμεν ὅτι οὐ συμμετρεῖται τῷ πλήθει τῶν πραγμάτων τὰ ὀνόματα, οὐδ᾽ ὅσα τὰ πράγματα, τοσαῦται καὶ αἱ ἐπ᾽ αὐτοῖς σημαντικαὶ λέξεις, οὔτε καθέκαστον οὔτε κοινῶς κατὰ γένος ἀλλ᾽ ὅπου μὲν ὑπερβάλλει, ὅπου δὲ ἐνδεῖ τὰ ἕτερα τῶν ἑτέρων· καὶ γὰρ ἑνὸς πράγματος πολλάκις εὑρίσκεται πλείω τὰ ὀνόματα, καὶ πραγμάτων πλειόνων ἓν ὄνομα κατ᾽ οὐδὲν κοινὸν καὶ ταὐτὸν κείμενον, ὥστε ἐπὶ τὴν προτεθεῖσαν λέξιν τὴν ἁπλῆν καὶ ἀσύνθετον χρὴ σκοπεῖν, εἰς ποίαν κατηγορίαν ἀνάγεται. διὰ τοῦτο περὶ ὁμωνύμων συνωνύμων καὶ παρωνύμων διαλαμβάνει διδάσκων ἡμᾶς πανταχόθεν ἐπισκοπεῖν, μήτι ταῖς λέξεσι τοιοῦτο συμβέβηκεν, ὥστε τὰ οἰκείως προτετάχθαι ὀφείλοντα πρῶτον παραδίδωσι τοῖς μέλλουσιν ἀκριβῶς τὰς κατηγορικὰς λέξεις γνώσεσθαι. ὥσπερ γὰρ ἐν ταῖς ἄλλαις ἐπιστήμαις προλαμβάνομέν τινα, ὧν ἄνευ χαλεπὸν καὶ ὅλως ἀδύνατον ἦν γνῶναι τὸ προκείμενον, οὕτω κἀνταῦθα

---

1. διαφορὰν S. — καὶ τὴν] τήν τε S. — 4. ὀνόματα Sahunius. — 6. ἢ ἐφίστανται S. — 11. προέμενος S.; scrib. προθέμενος. — 23. μήτε R. — 25. λέξεις om. R.

πρὸ τῆς εἰς τὰς κατηγορίας διαιρέσεως προλαμβάνομέν τινα συντελεῖν μέλλοντα εἰς τὴν σαφήνειαν τῶν ἑξῆς.

6. Οὐκοῦν ἔδει πρὸ τοῦ περὶ τῶν καθολικῶν λέξεων καὶ Ἀρχύταν λέγειν, ἃς ἡμεῖς κατηγορίας ὀνομάζομεν, ταῦτα προειληφέναι. Ἢ μήποτε οὐδὲ κατὰ νοῦν γίνεται τὸν Πυθαγορικὸν ἡ τοιαύτη διαίρεσις; ἐπεὶ γὰρ φύσει διορίζονται τὰ ὀνόματα κεῖσθαι τοῖς πράγμασι, πᾶσαν τὴν ἀνωμαλίαν τὴν περὶ τὰς λέξεις παραιτοῦνται.

7. Ἀλλὰ ταῦτα μὲν ὑπερθώμεθα, ἐπειδὴ τὸ τοιοῦτο γένος τῶν ζητήσεων παρὰ τῶν τὰς Πυθαγορικὰς ὑποθέσεις θαυμαζόντων ἀπαιτεῖν προσῆκεν· εἴπερ δὲ τὰ χρήσιμα προλαμβάνειν ἔδει, τί βουλόμενος μετὰ τὴν τῶν κατηγοριῶν παράδοσιν ἐπήγαγε περὶ ἐναντίων καὶ ἀντικειμένων καὶ κινήσεων καὶ τῶν ἄλλων;

Ὅτι ὦ γενναῖος τῶν μὲν ἄλλων ὅσων ἔννοιαν οὐκ ἔχομεν, παρὰ τῶν ἐπιστημόνων εἰκότως προδιδασκόμεθα, τοιαῦτα δέ γε ἦν τὰ ὁμώνυμα καὶ τὰ συνώνυμα καὶ τὰ παρώνυμα· τούτων γὰρ πρόληψιν οὐκ ἔχομεν, καί που πάντως ἔδει παρὰ τοῦ ἀκριβῶς τοῖς ὀνόμασι χρωμένου εἰς τὴν ἐπίνοιαν ἡμᾶς προαχθῆναι· ὧν δὲ φυσικὴν ἔχομεν τὴν ἐπιβολήν, οὐ μήν πω ταύτην διηρθρωμένην, τούτων ἔδει μὲν τῇ κοινῇ ἐννοίᾳ χρήσασθαι, ἵνα μὴ τὸ συνεχὲς τῆς διδασκαλίας διακοπῇ, μετὰ ταῦτα δὲ ἀκριβῶς διαρθρῶσαι ἕκαστα, αὐτὰ τὰ πράγματα διαλαμβάνοντα, ἀλλ' οὐχὶ τῇ φυσικῇ θεωρίᾳ ταῦτα σκοπούμενον. αὐτίκα ὥσπερ εἰς γένη μέν τινα τὴν διδασκαλίαν ἀνάγει περί τε ἐναντίων καὶ ἀντικειμένων καὶ τῶν ἄλλων, ἔτι τε περὶ κινήσεως καὶ τοῦ ἅμα παχυτέραις ταῖς ἐπιβολαῖς χρώμενος τὴν ἀκριβεστέραν θεωρίαν ἐν τοῖς φυσικοῖς ἐκδιδάσκει.

8. Τίς οὖν αἰτία τοῦ περὶ πρώτων τῶν ὁμωνύμων αὐτόν, ἀλλ'

---

5. μηδέποτε S. — τῶν πυθαγορικῶν R. — 7. τὴν post πᾶσαν om. S. — 8. ὑπερτιθέμεθα Brandis p. 43, 40. — 9. τῶν post παρὰ om. S. — 10. προσήκει? — 13. εὔνοιαν S. — 15. τὰ ante παρώνυμα om. R. — 16. που om. R. 17. χρωμένους S. — 18. διηρθρωμένην Sahunius, διηρθωμένην libri. — 20. διαρθῶσαι S. — 21. οὐ S.

*οὐχὶ τῶν συνωνύμων μνημονεῦσαι; καίτοι τὰ μὲν ὁμώνυμα καθ' ἓν μόνον ὄνομα κοινωνεῖ, τὰ δέ γε συνώνυμα κατ' ἀμφότερα τό τε ὄνομα φημὶ καὶ τὸν λόγον;*

*Λέγω δὴ τὸ αἴτιον εἰς αὐτὰς ἀναφέρεσθαι τὰς κατηγορίας. ἐπεὶ γὰρ ὁμώνυμοι τυγχάνουσιν αὗται, τὸ προηγουμένως κοινῇ πάσαις ὑπάρχον τοῦτ' εὐλόγως προέταξεν. ἑκάστη μὲν γὰρ τῶν ὑφ' ἑαυτὴν εἰδῶν κατὰ τὸ οἰκεῖον ἑαυτῆς γένος συνωνύμως κατηγορεῖται, ἁπλῶς δὲ πᾶσαι ὁμωνύμως κατηγορίαι λέγονται.*

9. *Ἀλλ' εἰ πρόκειται αὐτῷ περὶ τῶν λέξεων εἰπεῖν τῶν τε ἄλλων καὶ τῶν ὁμωνύμως ἐχουσῶν, διὰ τί περὶ μὲν ὁμωνυμίας οὐδὲν λέγει, περὶ ὁμωνύμων δὲ διδάσκει τῶν κατὰ τὴν σχέσιν τῶν πραγμάτων ἐπινοουμένων ἔχειν τὸ διττὸν τῆς σημασίας;*

*Ὅτι ἀπὸ τῶν πραγμάτων διαφόρως ἐχόντων διακρίνεται ὁδῷ προϊόντων ἡμῶν καὶ ἡ ὁμωνυμία. ἀφ' ὧν οὖν πρώτως λαμβάνει τὴν σύστασιν, καὶ ἅπερ ἐστὶ κυριώτατα αὐτῆς αἴτια, καὶ ἐν οἷς ἔχει τὸ εἶναι ἡ ὁμωνυμία, ταῦτα προηγουμένως ἀναδιδάσκει ὧν νοουμένων ὁμοῦ καὶ ἡ λέξις ὡς οὖσα ὁμώνυμος συνθεωρεῖται. ὅταν γὰρ ᾖ πλείονα ταῦτα, εὐθὺς συναποδείκνυται καὶ τὰ ὀνόματα ὥσπερ πλεοναχῶς λεγόμενα· δι' ὧν οὖν ἡ εὕρεσις ῥάστη καὶ ἀνυσιμωτάτη γίνεται, ταῦτα προὔθηκεν εἰκότως, ταῦτα δέ ἐστι τὰ πράγματα κύρια ὄντα τοῦ ποιεῖν τὴν ὁμωνυμίαν, ὥστε κατὰ τὰς διαφορὰς τῶν πραγμάτων παραστήσας τὰ ὁμώνυμα συνακολουθοῦντα τούτοις ἔχει καὶ τὸν περὶ τῆς ὁμωνυμίας λόγον.*

10. *Ἀλλ' εἰ τὸ μόνον διχῶς λαμβάνεται, ἢ ὡς ἓν ὥσπερ μόνος ὁ ἥλιος, ἢ ὡς πρὸς ἀντιδιαστολὴν ἑτέρων, ὡς τὸ χιτῶνα μόνον ἔχειν, ὅταν λέγῃ ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος, ἤτοι τὸ μόνον σημαίνει αὐτῷ τὴν πρὸς τὸν λόγον ἀντιδιαστολήν, ἢ οὐ σημαίνει. ἀλλ' εἰ μὲν σημαίνει, περιττὰ τὰ λοιπά· εἰ δὲ οὐ σημαίνει, περιττὸν τὸ μόνον.*

---

2. *γε* om. S. — 5. *προηγούμενον* S. — 10. *ὁμωνύμων ἐχουσῶν* S. *ομωνυμίας μὲν* S. — 14. *καὶ* om. S. — 15. *ἐστὶν αὐτῆς κυριώτατα* S. — 28. *διαστολὴν* S. — 29. *εἰ δὲ*] *οὐδὲ* S.

Φημὶ δὴ οὖν τὰς προσθήκας σαφηνείας χάριν λαμβάνεσθαι, ἧς μάλιστα χρὴ φροντίζειν τοὺς λέγοντας, κἀνταῦθα τοίνυν τὸ ἀμφίβολον τοῦ μόνου σαφηνίζει τὸ ἐπαγόμενον. ὡς γὰρ ὁ εἰπὼν οὗτος χιτῶνα μόνον ἔχει, σαφέστερον ἐποίησε τὸ λεγόμενον ἐν τῷ προσθεῖναι ἱμάτιον δὲ οὐκ ἔχει, οὕτως καὶ ὁ τῷ μόνῳ προσθεὶς τὸ ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος οὐκ ἀτόπως τοῦ σαφοῦς ἐφρόντισεν.

11. Ἀλλ' εἴποιμι ἄν, ὅτι οὐ μόνον τὸ ὄνομα τῶν ὁμωνύμων κοινὸν ἀλλὰ καὶ ἄλλα πλείω. τοῖς γοῦν Αἴασιν οὐ μόνον τὸ ὄνομα κοινὸν ὑπάρχει, ἀλλὰ καὶ τὸ Ἕλλησιν εἶναι καὶ στρατηγοῖς καὶ φίλοις. πῶς οὖν εἶπεν ὧν ὄνομα μόνον κοινὸν καίτοι τοῖς ὁμωνύμοις πολλῶν κοινῶν ὑπαρχόντων;

Ὅτι οὐ, τί πρόσεστι τοῖς Αἴασι κοινόν, σκοπούμεθα κατὰ τὰς λέξεις ἢ κατὰ τὸ γένος, ἀλλὰ καθόσον ἀλλήλοις ὁμώνυμοι μόνον, ὥστε ἡ προσθήκη ἀναγκαία ἡ τοῦ μόνου· κατὰ γὰρ τὸ ὄνομα μόνον ὁμώνυμον τὸ ὁμώνυμον.

12. Ἀλλ' εἰ τὸ κοινὸν τῶν πολλαχῶς λεγομένων, καὶ γὰρ τὸ εἰς μέρος ἀδιαίρετον, ὡς ὁ ἵππος καὶ ὁ οἰκέτης κοινός, καὶ τὸ διαιρούμενον, τοῦτο δὲ διαφόρως, ἢ τὸ ἐν προκαταλήψει ἑκάστου τὸ ἠγνοημένον, μετὰ δὲ τὴν χρῆσιν ἀναπεμπόμενον κοινόν, οἷον δή ἐστι τὸ βαλανεῖον καὶ τὸ θέατρον, καὶ τὸ μετὰ τὴν νέμησιν ἑκάστου ἴδιον γιγνόμενον, ὡς τὰ λάφυρα τῶν πολεμίων τοῖς στρατιώταις· ὧν δὴ τρόπων τῆς κοινότητος κατ' οὐδένα τοῖς ὁμωνύμοις προσεῖναι δυναμένων ἀναγκαίως ἡ ὕπαρξις αὐτῶν ἀναιρεῖται· οὔτε γὰρ ὡς ἀδιαιρέτου μετέχει τοῦ ὀνόματος τὰ ὁμώνυμα, ὡς ἵππου καὶ ἀνθρώπου, ἃ παρὰ μέρος εἰς χρῆσιν ἔρχεται· οὐδὲν γὰρ κωλύει πολλοὺς ἅμα τῷ αὐτῷ ὀνόματι χρῆσθαι, οὔτε ὡς διαιρουμένου· οὐ γὰρ κατὰ συλλαβὰς ἢ

---

2. μάλλιστα S. — 5. τῷ] τὸ S. — 9. ὑπάρχειν S. — 12. κοινὸν τοῖς Αἴασι S. — 14. μόνου] μόνον? — μόνον] κοινὸν S. — 17. κοινὸς] fort. κοινόν. — 18. ἠγνοημένον] fort. ἰδιούμενον et εἰς τὸ κοινόν. — 20. βασιλεῖον S. — Scrib. θέατρον, ἢ τό. — 21. ὧν] ὃν S., τρόπον libri. — 24. ἵππου καὶ] ἵππος S. — 26. διαιρουμένας S.

μετοχὴ τοῦ ὀνόματος· εἰ δὲ μήτε ὡς ἀδιαιρέτου μήτε ὡς διῃρημένου, πῶς οἷόν τε κοινὸν εἶναι τὸ ὄνομα;

Ἀλλ' ὁ ταῦτ' ἀπορῶν ἠγνόηκεν, ὅτι τοῦ ἀδιαιρέτου τὸ μὲν παρὰ μέρος εἰς χρῆσιν λαμβανόμενον λέγουσιν, ὥσπερ τὸν ἵππον [πρὸς] τὴν λύραν, τὸ δὲ ἀθρόως καὶ ἀμερίστως πλείοσιν ὑπάρχειν δυνάμενον ἀδιαίρετον παραλείπουσιν, ὅπερ ἐστὶ τρόπος τῆς ἐπὶ τοῦ ὀνόματος κοινωνίας· αὐτῷ γὰρ τῷ μὴ διαιρεῖσθαι τούτῳ καὶ πάρεστι πᾶσι τοῖς μετέχουσιν αὐτοῦ.

13. Ἀλλ' εἰ τὸ ὄνομα σημαντικόν ἐστιν ἀπροσδεῶς οὗπέρ ἐστιν ὄνομα, εἰ γὰρ προσδέοιτό τινος ἑτέρου πρὸς τὸ σημῆναι, οὐδ' ἂν ὄνομα εἴη, τὸ δὴ κοινὸν πλειόνων οὐχ ἑνός ἐστι σημαντικόν. ἄδηλον γάρ ἐστι τί τῶν πολλῶν βούλεται σημῆναι. ὁ γὰρ εἰπὼν κύνα, ὅτι μὲν οὐ βοῦς οὐδ' ἵππος οὐδ' ἄνθρωπος τὸ σημαινόμενον, ἐδήλωσε, τίνα δὲ κύνα βούλεται δηλοῦν, οὐ σημαίνει. τὸ δὲ ὄνομα τὸ σημαντικόν ἐστιν, ὥστε οὐκ ἂν εἴη ὄνομα κοινὸν πλειόνων· εἰ δὲ τοῦτο, οὐδὲ ὁμώνυμον ὅλως ἔσται τι πρᾶγμα· τὰ γὰρ ὁμώνυμα βούλεται ὑπὸ κοινοῦ τινος σημαίνεσθαι ὀνόματος πλείω ὄντα πράγματα. εἰ δὲ προσθήκης δεῖται τὸ ὄνομα πρὸς τὸ σημῆναι ἓν ἐκ τῶν πολλῶν ὃ βούλεται, πάλιν ὁ τῶν ὁμωνύμων λόγος ἀνατρέπεται. οὐκέτι γὰρ διαμένει κοινόν, ὅταν τῇ προσθήκῃ τῆς διαφορᾶς ἴδιόν τινος γένηται, οἷον ὅταν τῷ κυνὶ προσθῶμεν τὸ χερσαῖον ἢ θαλάττιον, ὥστε οὐ μόνον οὐ διαμένει τὸ ὄνομα κοινόν, ἀλλ' οὐδὲ ὅλως ἐστὶν ὄνομα διαφορὰν προσλαβόν.

Τὸ μὲν περίεργον τῆς ἀπορίας φευκτόν, λυτέον δὲ ὅμως αὐτὴν καὶ οὐκ ἀρνητέον. τὸ γὰρ κοινὸν τοῦ ὀνόματος κακῶς εἴληπται. οὐ γὰρ οὕτως εἶπεν Ἀριστοτέλης τὸ κοινόν, ὡς τὴν λύραν καὶ τὸν ἵππον, ἀλλ' ὡς τὴν κοινὴν φωνὴν τὴν ἐν τῷ θεάτρῳ, ἥτις ἡ αὐτὴ καὶ μία οὖσα

---

3. παρὰ] πέρα R. — 4. πρὸς τὴν om. R. — 9. οὗπερ] οὗ S. — 12. βουλεύεται S. — 14. τὸ post ὄνομα del. Sahunius. — 19. τοῦ ὁμωνύμου R. — 25. οὐ] εἰ S. — 27. τῷ om. S.

*εἰς διαφόρων ἀκοὰς ἀφικνεῖται ὅλη· καὶ γὰρ ἐνταῦθα τοὔνομα ἓν καὶ ταὐτὸν ὂν κατὰ διαφόρων πραγμάτων τέτακται.*

**14.** *Εἰ δέ τις λέγοι, πᾶν αἰσθητὸν τρεπτόν, πᾶν τρεπτὸν ἀλλοιωτόν, πᾶν ἀλλοιωτὸν οὐδέποτε μένει ταὐτὸν ἀλλ' ἄλλοτε ἄλλο γίνεται, ἐάν τε ἐν πλείοσιν ἐάν τε ἐν ἑνὶ λαμβάνῃ τις τὴν ἀλλοίωσιν, τὸ δὲ ἀλλοιούμενον κοινὸν εἶναι ἀδύνατον· διαμένειν γὰρ δεῖ τὸ κοινόν· εἰ γὰρ μὴ διαμένοι, ἴδιον ἑκάστου γίνεται τὸ καθῆκον εἰς ἕκαστον· τὸ δὲ ὄνομα αἰσθητόν, αἰσθητὴ γὰρ ἡ φωνή, ὥστε οὐδὲ κατὰ τοῦτ' ἂν εἴη κοινὸν ὄνομα· εἰ δὲ μὴ τοῦτο, οὐδὲ ὁμώνυμον· αἰσθάνομαι μὲν οὖν καὶ αὐτός, ὡς σοφισματώδης ἐστὶν ἡ τοιαύτη ἀπορία, ὅμως δὲ λύσιν αὐτῆς δοθῆναι βούλομαι.*

*Φημὶ δὴ ἠγνοηκέναι αὐτούς, ὅτι τὸ κοινὸν οὐχ οὕτως ἐῤῥέθη, ὡς τὸ μεριστὸν εἰς πλείω, ἀλλ' ὡς ὅλον ἑκάστου ταὐτόν, καὶ οὐχ ἕτερον μὲν τούτου ἄλλο δὲ τούτου, ὡς ἰδίαν εἶναι περιοχὴν σχημάτων τὴν τῆς ὁμωνυμίας κοινότητα, καὶ ᾧ λόγῳ μένει τὸ ἴδιον ἑκάστου ὄνομα, καὶ τὸ κοινὸν διαμένει. ἔπειτα καὶ τὸ τρεπτὸν εἰ καὶ κατὰ τῆς φωνῆς ὡς σώματος ἐλήφθη, ἀλλ' οὐ κατά γε τοῦ ὀνόματος καλῶς ἂν λαμβάνοιτο· ἀμετάβλητον γὰρ τοῦτο δεῖ μένειν.*

**15.** *Ἐπεὶ δὲ οὐ μόνον τούτοις μέμφονται, ἀλλὰ καὶ περιττότητα ἐγκαλοῦσι τῇ ὑπογραφῇ, ἄξιον καὶ τοῦτο ἐπισκέψασθαι. ἤρκει γὰρ φασὶν εἰπεῖν ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν, οἱ δὲ ὅροι ἕτεροι.*

*Ἀλλ' εἰ μὴ προσετέθη ὁ δὲ κατὰ τοὔνομα τῆς οὐσίας λόγος ἕτερος, ἐνῆν τὰ αὐτὰ ὁμώνυμα καὶ συνώνυμα ἀποφαίνειν, ὡς τοὺς Αἴαντας· μὴ γὰρ ἀποδιδομένου τοῦ ὅρου κατὰ τὸ ὄνομα εἷς καὶ ὁ αὐτὸς ὅρος ὡς ἀνθρώπων ἐγίγνετο, ὥστε ἐφαίνοντο συνώνυμοι.*

**16.** *Ἀλλὰ τί δήποτε οὐκ εἶπεν ὁ δὲ κατὰ τοὔνομα ὅρος τῆς οὐσίας, ἀλλ' ὁ λόγος;*

---

1. *τὸ ὄνομα* S. — 3. *λέγει* S. — 5. *ἐν* om. S. *τὴν ἀλλοίωσίν τις λαμβάνοι* S. — 8. *γὰρ*] *δὲ* S. — 18. *δεῖ τοῦτο* S. — 19. *τούτοις μόνον* S. — 24. *ἕτερος* om. R. — 25. *εἷς*] *ἧς* S. — 27. *ὅρος ὁ αὐτὸς ἀλλ' ὁ λόγος τῆς οὐσίας* R.

Ὅτι οὐ πάντα ὅροις δηλοῦνται τὰ πράγματα ἀλλὰ καὶ ὑπογραφαῖς, διόπερ ἀκριβῶς λόγον τῆς οὐσίας ἀντὶ ὅρου παρέλαβεν.

17. Ἐπεὶ δὲ βιάζονταί τινες τὰ ὁμώνυμα συνώνυμα ἀποδεικνύναι, φέρε καὶ τοῦτο διάρθρωσον· φασὶ γάρ, ὡς εἰ συνώνυμά ἐστιν ὧν τό τε ὄνομα καὶ ὁ κατὰ τοὔνομα λόγος ὁ αὐτός, τὰ δὲ ὁμώνυμα καὶ ὄνομα ἔχει ταὐτόν· καλεῖται γὰρ ὁμώνυμα, καὶ λόγον ἐπιδέχεται τὸν τῶν ὁμωνύμων, συνώνυμα ἔσται τὰ ὁμώνυμα. ἀλλὰ μὴν καὶ τὰ συνώνυμα πολὺ πρότερόν ἐστι συνώνυμα· ταῦτα ἄρα ἐστὶ συνώνυμα.

Ἔδει μὲν πρὸς τοὺς οὕτως ἐπιτηδευομένους λόγους μηδὲ ἐπιχειρεῖν· πλὴν ἵνα μὴ δοκῶσί τι λέγειν, οὕτως αὐτοῖς ἀπαντήσωμεν. οὐδὲν γὰρ κωλύει τὰ πράγματα κατὰ ἄλλο μὲν εἶναι ὁμώνυμα, κατ' ἄλλο δὲ συνώνυμα, ὥσπερ οὖν καὶ ἐνταῦθα πάντα γε τὰ ὁμώνυμα καλεῖται ὁμώνυμα, οἷον οἱ Αἴαντες. ἑκάτερός τε γὰρ αὐτῶν Αἴας καὶ ἑκάτερος ὁμώνυμος, καὶ καθὸ μὲν Αἴαντες οὐδὲν ἔχοντες προσὸν αὐτοῖς πρᾶγμα κοινόν, ὁμωνύμως λέγονται· καθὸ δὲ ὁμώνυμοι κοινὸν ἔχοντες λόγον, συνώνυμοι γίνονται.

18. Ἀλλὰ δὴ τοῖς ἐλλιπῶς ἔχειν τὴν ὑπογραφὴν τῶν ὁμωνύμων λέγουσι πῶς ἂν ἀπαντήσαιμεν; φασὶ γὰρ ὡς εἰ τὸ ὁμώνυμον οὐκ ἐν μόνῃ τῇ οὐσίᾳ ἐστίν, ἀλλὰ καὶ ἐν ποιῷ καὶ ἐν ποσῷ καὶ τοῖς ἄλλοις γένεσι, καὶ γὰρ ἐπ' ἐκείνων ὁμωνύμως ἔστιν εἰπεῖν, πῶς ἐν τῷ λόγῳ τοῦ ὁμωνύμου εἶπεν ὁ δὲ κατὰ τοὔνομα τῆς οὐσίας λόγος; φαίνεται γὰρ ἐλλιπῶς εἰρηκώς, εἴ γε ἐν ἅπασι τοῖς γένεσι τῆς ὁμωνυμίας οὔσης ὁ λόγος οὗτος τὰ ἐν τῇ οὐσίᾳ μόνῃ ὁμώνυμα περιορίζει.

Πρῶτον μὲν οὖν οὐκ ἐν ἅπασι τοῖς ἀντιγράφοις τὸ ὁ δὲ λόγος τῆς οὐσίας πρόσκειται, ὡς καὶ Βοηθὸς μνημονεύει καὶ Ἀνδρόνικος· εἰ δὲ καὶ προσκείμενον εἴη τὸ ὁ δὲ λόγος τῆς οὐσίας ἕτερος,

---

2. ὅρου] τοῦ ὅρου S. — 7. τοῦ ὁμωνύμου R. — ἐστί S. — 8. ἄρα ἔσται R. — 13. τε om. S. — 15. ὁμώνυμοι] ὁμώνυμον S. — 17. ἐλλειπῶς libri. — τῶν ὁμωνύμων τὴν ὑπογραφὴν S. — 22. ἐλλειπῶς S. — 23. μόνῃ om. S. — 25. οὐσίας] scrib. οὐσίας ἕτερος. — πρόκειται R. — ὡς καὶ] καὶ om. S. — 26. προκείμενον R.

διότι παρὰ τοῖς πλείστοις οὕτως εὑρίσκεται γεγραμμένον, ἀλλ' ὀρθῶς γε ἔχει προσκείμενον. εἰ γὰρ ὁ λόγος ὁμώνυμον· λόγος γάρ τις καὶ ὁ συλλογισμὸς καὶ ἡ ἐπαγωγή, διαφέρει δὲ τούτων ὁ τῆς οὐσίας δηλωτικὸς λόγος, καλῶς ἐποίησε προσθεὶς τὸ ὁ δὲ λόγος τῆς οὐσίας ἕτερος. πρὸς δὲ τούτοις οὐ τῆς οὐσίας μόνον εἶναι λεγομένης, ἀλλὰ καὶ τῶν συμβεβηκότων εἶναι λεγομένων εἰκότως λόγον τῆς οὐσίας εἶπεν, οὐκ οὐσίας μόνον μνημονεύων ἀλλὰ καὶ τῶν ἄλλων γενῶν, καθὸ καὶ ταῦτα ὄντα λέγεται. ὁ γὰρ τὴν ἑκάστου τῶν συμβεβηκότων ὕπαρξιν δηλῶν λόγος τῆς οὐσίας ὀρθῶς ἂν λέγοιτο λόγος. ἔπειτα καὶ λόγον οὐσίας τὴν ὑπόστασιν τῶν ὁμωνύμων ἀκούειν προσῆκε.

19. Καὶ μὴν εἰ τὰ συνώνυμα καὶ λόγου τοῦ αὐτοῦ καὶ ὀνόματος μετέχει, τί δήποτε περὶ τούτων πρότερον εἰπεῖν παρῆκε, τῶν δὲ ὁμωνύμων ἐμνημόνευσεν; ἔτι δὲ εἰ περὶ τῶν ἀνωτάτω γενῶν μέλλει ποιεῖσθαι τὸν λόγον, τοῖς δὲ γένεσιν ὑπάρχει τὸ συνωνύμως τῶν ὑπ' αὐτὰ κατηγορεῖσθαι, ὁμωνύμως δὲ οὔ, ὑπάρχει μὲν αὐτοῖς τὸ συνώνυμον τὸ δ' ὁμώνυμον οὔ· προηγεῖται δὲ πανταχοῦ τὸ ὑπάρχον τοῦ μὴ ὑπάρχοντος, ὥστε πρότερον ἐχρῆν περὶ τῶν συνωνύμων δεῖξαι, εἶτα περὶ τῶν ὁμωνύμων.

Ὅτι τὸ ὂν οὐχ ὡς παρ' ἄλλοις δοκεῖ συνώνυμον, ἀλλ' ὁμώνυμον κατὰ Ἀριστοτέλην. εἰ οὖν αὐτὸ τὸ ὂν ὁμώνυμον, προηγεῖται κατ' αὐτὸν ἡ τοῦ ὁμωνύμου διδασκαλία καὶ ἡ τοῦ μὴ ὑπάρχοντος ἀπόδειξις· δεῖ γὰρ διαστείλασθαι πρῶτον τὴν ὁμωνυμίαν, εἶθ' οὕτως εἰς ἀριθμὸν ἀγαγόντα καὶ ὁρισάμενον τὰ γένη καθ' ἕκαστον λοιπὸν ἐπιδεικνύναι, πῶς τῶν ὑπ' αὐτὸ συνωνύμως κατηγορεῖται.

Εἰσί τινες τοίνυν οἳ μέμφονται τῇ τῶν κατὰ συμπλοκὴν καὶ
20. ἄνευ συμπλοκῆς διαιρέσει. οὐ γὰρ πάντως ἄνευ συμπλοκῆς ἢ μετὰ συμπλοκῆς τὰ λεγόμενα· τὸ γὰρ ἄνθρωπος περιπατεῖ οὐ μετὰ συμπλοκῆς· οὐ γὰρ μετὰ συμπλεκτικοῦ συνδέσμου, τὸ δὲ ἄνθρωπος ἢ

---

6. εἶναι] ὄντων R. — 12. ποτε om. S. — προτέρων R. — 13. ἔτι] ὅτι S. — 19. ὡς παρ'] scrib. ὥσπερ. — 21. αὐτὸν] αὐτὸ libri. — ἐπίδειξις S. — 25. οἳ] οἵτινες S. — 26. μετὰ συμπλοκὴν R. — 27. μετὰ] μετὰ τοῦ S.

βοῦς οὐκ ἄνευ συμπλοκῆς· σύνθεσιν γάρ τινα συλλαβῶν καὶ στοιχείων ἔχειν καὶ τὰ ῥήματα.

Φαμὲν δή, ὅτι οἱ μόνην συμπλοκὴν τὴν μετὰ συμπλεκτικοῦ συνδέσμου προφορὰν λέγοντες τοῖς Στωϊκοῖς ἐπακολουθοῦσιν, ὧν ἀρχαιότερος Ἀριστοτέλης καὶ τῇ τῶν πρεσβυτέρων συνηθείᾳ χρώμενος, οἵτινες τὴν τῶν πλειόνων μερῶν τοῦ λόγου σύνοδον συμπλοκὴν ὠνόμαζον. τὸ δὲ λέγειν, ὅτι μετὰ συμπλοκῆς ὁ ἄνθρωπος ἢ ὁ βοῦς, διότι σύνθεσις ἐπ' αὐτῶν ἐστι συλλαβῶν καὶ στοιχείων, καὶ αὐτὸ οὐ καλῶς λέγεται· οὐ γὰρ τὴν τῶν στοιχείων σύνθεσιν, ἀλλὰ τὴν τῶν μερῶν τοῦ λόγου οἱ παλαιοὶ συμπλοκὴν ὀνομάζουσιν.

21. Ἀλλ' εἰ καὶ ἐν ὑποκειμένῳ ἐστὶ τὸ ἔν τινι μὴ ὡς μέρος ὑπάρχον, ἀδύνατον γὰρ χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστίν, ἀδύνατον δὲ τὸ σῶμα τόπου χωρισθῆναι, ἔσται τὸ σῶμα ἐν ὑποκειμένῳ τῷ τόπῳ. ὁμοίως δὲ καὶ τὰ ἐν χρόνῳ. οὔτε γὰρ μέρη ἐστὶν αὐτοῦ, οὔτε ἄνευ χρόνου εἶναι δύναται· καὶ γὰρ εἴτις λέγοι τοῦ ἐν μέρει τόπου καὶ χρόνου χωρίζεσθαι αὐτά, ἀλλὰ τοῦ τε ἁπλῶς χρόνου καὶ τόπου οὐ χωρίζεται.

Ἀλλὰ καὶ πρὸς τοῦτο ἐροῦμεν, ὅτι οὐδὲν τῶν κοινῶν οὔτε τόδε οὔτε τι ὑπάρχει, οὐδ' ἔν τινι οὖν ἔσται τὸ ἐν τῷ γενικῷ ὂν τόπῳ ἢ χρόνῳ. ἔτι τὸ μὲν καθ' αὑτό ἐστιν ἐν χρόνῳ τὸ κινούμενον καὶ μεταβάλλον· συμπορεύεται γὰρ τῷ χρόνῳ καὶ συμμεταβάλλεται. εἰ δ' ἦν τι ἀΐδιον, κατὰ συμβεβηκὸς ἂν ἦν ἐν χρόνῳ ἀκίνητον ὂν καὶ ἀμετάβλητον· χρόνου γὰρ ὄντος εἶναι λέγεται. τούτων δὴ οὕτω διῃρημένων εἰ τὸ κινούμενον ᾗ κινεῖται συμπαραμείβει τῷ χρόνῳ, οὐκ ἂν εἴη ἔν τινι κυρίως οὐδὲ ἐν χρόνῳ. εἰ γὰρ μηδ' ἐν τόπῳ κινούμενον, οὐδὲ ἐν χρόνῳ ἂν εἴη· ὅμοιον γὰρ ὡς ἂν εἰ ἐκινεῖτο. τότε γὰρ πολὺ μᾶλλον οὐκ ἂν εἴη ἐν τόπῳ ἀμφοτέρων καθ' αὑτὰ κινουμένων. τοιοῦτον οὖν πέπονθε καὶ πρὸς τὸν χρόνον· οὐδέτερον γὰρ ὑπομένει, ὥστε οὐκ ἔσται τὸ ἕτερον ἐν τῷ ἑτέρῳ, οὔτε ἐν τῷ

---

2. καὶ om. S. — 3. ὅτι om. S. — 12. γὰρ om. S. — 13. τῷ om. S. — 14. τὰ] fort. del. — 15. λέγει S. — 16. τόπου καὶ χρόνου S. — 18. τὸ] τῷ R. — 19. ἔτι] ὅτι S. — 24—26. ἔν τινι — ἂν εἴη om. S.

κατὰ μέρος οὔτε ἐν τῷ γενικῷ. εἰ δὲ καὶ ἐν χρόνῳ ῥητέον κοινότερον, ἀλλ' οὐκ ἐν τῷ ὡρισμένῳ ῥηθήσεται· οὔτε γὰρ κινήσεως οὔτε χρόνου ἐστὶ δεῖξις, ἀμφοτέρων ἐν πλάτει θεωρουμένων καὶ κατὰ διέξοδον ὑφισταμένων καὶ κατὰ συνεχῆ τῶν μερῶν γένεσιν· τὸ μὲν γὰρ παρελήλυθε, τὸ δὲ μέλλει. εἰ δ' ἄρα εἴη, ἄλλο ληπτέον τὸ ἐν τῷ τόπῳ καὶ χρόνῳ, ἄλλο τὸ ὡς ἐν ὑποκειμένῳ τὸ ἐπὶ τοῦ χρώματος.

κκ. Εἰ τὰ συμπληροῦντα τὴν ἑκάστου οὐσίαν μέρη ἐστίν· αὕτη γὰρ μέρους ἔννοια τὸ συμπληρωτικὸν εἶναι τὸ μέρος τῆς οὐσίας, συμπληροῖ δὲ τοῦ μὲν ἁπλῶς λεγομένου σώματος τὴν οὐσίαν χρῶμα καὶ σχῆμα καὶ ποσότης, οὐδὲν γὰρ ἄχρουν ἢ ἀσχημάτιστον ἢ ἄποσον σῶμα, τοῦδε δὲ τοῦ σώματος, οἷον τοῦ πυρὸς ἢ τῆς χιόνος ἡ ψυχρότης ἢ ἡ θερμότης καὶ ἡ λευκότης ἢ ἡ λαμπρότης συμπληροῦσι τὴν οὐσίαν, ἤτοι μέρη αὐτῶν ἔσται τὰ εἰρημένα, καὶ εὑρίσκεται τὰ ἐν ὑποκειμένῳ ὡς μέρη ὑπάρχοντα, ἢ οὐκ ἔσται μέρη, καὶ οὐ συμπληροῖ τὴν οὐσίαν.

Πρὸς τοῦτο τὸ ἀπόρημα, ἐκεῖνο χρὴ προσειπεῖν, ὡς ἔστι τὸ ὑποκείμενον διττόν, καὶ κατὰ τοὺς ἀπὸ τῆς στοᾶς καὶ κατὰ τοὺς πρεσβυτέρους, ἓν μὲν τὸ λεγόμενον πρῶτον ὑποκείμενον, ὡς ἡ ἄποιος ὕλη, ἣν δυνάμει σῶμα Ἀριστοτέλης φησί, δεύτερον δὲ ὑποκείμενον τὸ ποιόν, ὃ κοινῶς ἢ ἰδίως ὑφίσταται, ὑποκείμενον γὰρ καὶ ὁ χαλκὸς καὶ ὁ Σωκράτης τοῖς ἐγγινομένοις ἢ κατηγορουμένοις κατ' αὐτῶν. τὸ γὰρ ὑποκείμενον κατὰ πρός τι λέγεσθαι ἐδόκει· τινὶ γὰρ ὑποκείμενον, ἤτοι δὲ ἁπλῶς τῶν γινομένων ἐν αὐτῷ καὶ κατηγορουμένων αὐτοῦ, ἢ ἰδίως· ἁπλῶς μὲν γὰρ ὑποκείμενον πᾶσι τοῖς γινομένοις καὶ κατηγορουμένοις ἡ πρώτη ὕλη, τισὶ δὲ ὑποκείμενον μὲν γιγνομένοις ἐπ' αὐτοῦ καὶ κατηγορουμένοις ὁ χαλκὸς καὶ ὁ Σωκράτης. δύο τοίνυν ὑποκειμένων ὄντων πολλὰ τῶν ἐγγινομένων ὡς πρὸς τὸ πρῶτον ὑποκείμενον ἐν ὑποκειμένῳ ὄντα ὡς πρὸς τὸ δεύτερον οὐκ ἦν ἐν ὑποκειμένῳ, ἀλλὰ μέρη αὐτοῦ. διότι μὲν γὰρ πᾶν χρῶμα καὶ πᾶσα ποιότης καὶ

---

5. fort. ἄρα, εἴη ἄν. — ἄλλο ληπτέον om. R. — 7. εἰ τὰ] εἶτα S. — 10. ἢ] καὶ S. — 11. θερμότης ἢ ψυχρότης S. — 15. προειπεῖν R. — 16. ἀπὸ τῆς στοᾶς] στωικοὺς S. — 18. σῶμα om. Simplicius.

*πᾶν σχῆμα τῆς πρώτης ὕλης, ἐστὶν ἐν ὑποκειμένῳ· ἐν γὰρ ταύτῃ ὑφίσταται οὐχ ὡς μέρη αὐτῆς ὄντα καὶ ἀδύνατα χωρὶς αὐτῆς εἶναι· διότι δὲ οὐ πᾶν χρῶμα οὐδὲ πᾶν σχῆμα ἐπὶ τοῦ δευτέρου ὑποκειμένου ἐν αὐτῷ ἐστιν, ὅταν μὴ συμπληρωτικὰ ᾖ τῆς οὐσίας, τότε ἔσται ἐν ὑποκειμένῳ, ἐπὶ δὲ τῆς χιόνος οὐκ ἐν ὑποκειμένῳ ἀλλ' ὑποκείμενον. ἡ γὰρ τῆς χιόνος λευκότης οὔτε καθ' ὑποκειμένου λέγεται ἄλλου σώματος, οὔτε ἐν ὑποκειμένῳ ἐστὶ τῷ σώματι τῆς χιόνος, ἀλλὰ συμπληροῖ τὴν οὐσίαν ὡς μέρος. Ἀριστοτέλης οὖν τὸ δεύτερον ὑποκείμενον εἰς τὴν διδασκαλίαν παραλαμβάνων πᾶν τὸ μὴ οὐσιωδῶς ὑπάρχον τινὶ ἐν ὑποκειμένῳ φησὶν εἶναι, τὰ μὲν οὐσίαν συμπληροῦντα τιθεὶς ὄντα, τὰ δὲ μὴ τοιαῦτα μέρη μὲν οὐ λέγων, συμπτώματα δὲ καὶ παθήματα, ὡς εἶναι τοῦ μὲν πρώτου ὑποκειμένου τὰς ποιότητας συμπτώματα καὶ παθήματα καὶ τὰς ποσότητας, τοῦ δὲ δευτέρου ὡς μέρη, ὅταν συμπληρῶσιν αὐτοῦ τὴν οὐσίαν.*

**23.** *Ἀλλ' εἴ τις καὶ δοίη μὴ εἶναι μέρη τὰ ἐν ὑποκειμένῳ, ἀλλ' ἐκεῖνό γε ἄτοπον τὸ ἐν τῷ ὅρῳ τοῦ ἐν ὑποκειμένῳ δύνασθαι πολλάκις εὑρίσκεσθαι καὶ τὰ ὡς ἐν εἴδει καὶ τὰ ὡς ἐν γένει καὶ τὰ ὡς ὅλα ἐν μέρεσι· κοινὸν γὰρ εἶναι καὶ πρὸς ταῦτα τὸν εἰρημένον λόγον τοῦ ἐν ὑποκειμένῳ· οὔτε γὰρ τὸ εἶδος μέρος τοῦ γένους· δύναται γὰρ καὶ ἐξαιρεθέντος εἴδους σώζεσθαι τὸ γένος, ὡς τὸ ζῷον ἐξαιρεθέντος τοῦ ἀνθρώπου, οὔτε δύναται ἄνευ τοῦ ζώου εἶναι· πῶς γὰρ ἂν εἶδος εἴη γένους μὴ ὄντος; ἀλλὰ τὸ ὅλον ἐν τοῖς ἑαυτοῦ μέρεσιν ὂν οὔτε μέρος ἐστὶν αὐτῶν· ἄτοπον γὰρ τὸ ὅλον τῶν μερῶν λέγειν μέρος, οὔτε δύναται χωρὶς αὐτῶν εἶναι. πέφηνεν οὖν ὁ λόγος κοινὸς οὐ μόνον τῶν ἐν ὑποκειμένῳ, ἀλλὰ καὶ τῶν μὴ ἐν ὑποκειμένῳ.*

*Καὶ μὴν παντὶ πρόδηλον, τὸ εἶδος ὅτι μέρος μὲν οὐκ ἔστιν, ὥσπερ ἡ χεὶρ τοῦ ὅλου σώματος, ὡς μέρος δὲ θεωρεῖται. ὁ δὲ Ἀριστο-*

---

1. *ἐστὶν* om. S. — 4. *οὐσίας*] *ἐξουσίας* R. — 10. *ἀναπληροῦντα* R. — 14. *αὐτοῦ*] *αὗται* S. — 16. *ὅρῳ τῶν ὑποκειμένων* S. — 18. *τὸν* om. R. — 21. *ζώου*] imo *γένους*. — *εἶναι* om. S. — 22. *μὴ ὄντος γένους* S. — 23. *ἐστὶν* om. S. — *οὔτε*] *οὐδὲ* libri.

*τέλης οὐκ εἶπεν ὃ ἔν τινι μὴ μέρος ὑπάρχον ἀλλὰ μὴ ὡς μέρος ὑπάρχον, ὥστε καὶ τὸ ὡς εἶδος ὑπάρχον ἀνῄρηκε διὰ ταύτης τῆς προσθήκης. τὸ δὲ ὅλον οὐκ ἔστιν ἔν τινι τῶν αὐτοῦ μερῶν, ἀλλ' ἐν ἅπασι τοῖς ἑαυτοῦ θεωρεῖται μέρεσιν. ἐκεῖνος δὲ ἔφη ὃ ἔν τινι μὴ ὡς μέρος ὑπάρχον. τὸ ὅλον οὖν περιγράφεσθαι ὑπακουστέον ἀπὸ κοινοῦ τοῦ μὴ ὡς μέρος· οὐ γὰρ μόνον τὸ ἐπὸν οὐ δεῖ εἶναι μέρος, ἀλλὰ καὶ τὸ ὑποκείμενον μὴ μέρος εἶναι τοῦ ἐπόντος. τὸ γὰρ ὅλον ὡς ἐν πᾶσι τοῖς μέρεσι καθ' ὑποκειμένων αὐτῶν λέγεται.*

**24.** *Καὶ πῶς οὐκ ἄτοπον τὸ λέγειν ἄνευ τοῦ ἐν ᾧ ἐστι μὴ δύνασθαι εἶναι τὸ ἐν ὑποκειμένῳ; τῆς εὐωδίας χωριζομένης καὶ τοῦ μήλου καὶ τῶν ῥόδων· πολλάκις γὰρ αἱ ποιότητες διαμένουσι, τῶν πρώτως αὐτὰς δεδεγμένων μηκέτ' ὄντων, ὥσπερ καὶ τοῦ οἴνου ποθέντος ἢ τοῦ σκόρδου βρωθέντος ἡ ὀσμὴ διαμένει.*

*Ἀλλ' οὐκ εἶπεν ἀδύνατον χωρίζεσθαι τὰ ἐν ὑποκειμένῳ τῶν ἐν οἷς ἐστιν, ἀλλὰ χωρὶς εἶναι. ἡ γὰρ εὐωδία χωρίζεσθαι μὲν δύναται τῶν ῥόδων, χωρὶς δ' εἶναι οὐ δύναται, ἀλλ' ἢ φθείρεται ἢ μεταδίδοται εἰς ἄλλα ὑποκείμενα. ὃ δὲ καὶ τοῦδε ἔτι ἀκριβέστερον τὸ ἐφεξῆς προστίθησιν· οὐ γὰρ ἐκείνου μόνου εἶπε μὴ δύνασθαι χωρὶς εἶναι τοῦ ἐν ᾧ ἦν, ἀλλ' ἁπλῶς παντὸς ἐν ᾧ ἐστίν. ὥστε εἰ καὶ μεταλλάττοι τὰ ὑποκείμενα ἡ πρὶν ἐν τῷ μήλῳ εὐωδία ἐγγιγνομένη ἐν τῷ ἀέρι, ὅμως ἐν ὑποκειμένῳ τινὶ ἔσται, ἄλλοτε μέντοι ἐν ἄλλῳ, καὶ οὐδαμῶς οὐδέποτε οὐδὲν διαφεύγει τὸν ὁρισμὸν τῶν συμβεβηκότων.*

**25.** *Ἀλλὰ δὴ πῶς ἀπαντήσωμεν τοῖς ὁριστικοῖς, οἳ τὰ μὴ ὑπάρχοντα τῷ κατηγορουμένῳ λαμβάνοντες ὡς λεγόμενα κατ' αὐτοῦ ποιοῦσι πρὸς τῷ ὑποκειμένῳ τὸν τῆς ἀποφάσεως συλλογισμόν, οἷον ὁ ἄνθρωπος*

---

1. *ἀλλὰ μὴ ὡς μέρος ὑπάρχον* om. S. — 3. *αὐτοῦ*] *αὐτῶν* R. — 4. *μέρεσι θεωρεῖται* S. — *ὃ*] *ὅτ'* S. — 5. *προσακουστέον* S. — 6. *μέρους* R. — 10. *τὸ* ante *ἐν* om. S. — 11. *πρώτων* S. — 12. *δεδειγμένων* S. — 13. *σκορόδου* S. — 17. *ἔτι*] *ὅτι* S. — 19. *ἐν ᾧ* ante *ἐστὶν* om. S. — *μεταλλάττει* S. — 22. *τοῦ συμβεβηκότος* S. — 23. scrib. *ὑπαντήσομεν*. — 24. *τῶν κατηγορουμένων* libri. — 25. *ἀντιφάσεως* S.

τοῦ Σωκράτους καθ' ὑποκειμένου κατηγορεῖται, κατὰ δὲ τοῦ ἀνθρώπου λέγεται τὸ μὴ εἶναι Σωκράτην· οὐκοῦν καὶ κατὰ Σωκράτους ῥηθείη ἂν τὸ μὴ εἶναι Σωκράτην;

Πάλιν γὰρ καὶ πρὸς τούτους ὑπολογιζόμεθα, οὐχ ὡς οἱ Στωϊκοὶ λέγουσι, τὴν τῶν ἀποφαντικῶν ὑπεξαίρεσιν, ἀλλ' ὡς Ἀριστοτέλης διδάσκει, τὴν τῶν κατ' οὐσίαν ὑπαρχόντων λῆψιν, ἣν ἐκεῖνοι οὐ παρωσάμενοι παραλογίζονται, τὰ μὴ ὑπάρχοντα ὡς καθ' ὑποκειμένου λεγόμενα κατ' οὐσίαν προσλαμβάνοντες.

26. Εἰ δέ τις μηδ' ὅλως καθ' ἑτέρου λέγεσθαι τὸ γένος τοῦ εἴδους διαμφισβητήσειεν, ἐπεὶ κατὰ τὸν αὐτοῦ λόγον κατηγορεῖται τοῦ ὑποκειμένου καὶ καθόσον κοινωνεῖ πρὸς αὐτὸ τῆς αὐτῆς οὐσίας· τὰ γὰρ γένη τῶν εἰδῶν τῇ ἐπινοίᾳ χωρίζομεν, αὐτὰ δὲ καθ' αὑτὰ οὐχ ὑφέστηκεν, ἀλλ' ἐν τοῖς εἴδεσι τὸ εἶναι ἔχει, πῶς ἀπαντήσομεν;

Ἢ ὅτι τὸ δοκοῦν εἶναι τούτων ταὐτὸ παραλλάττει τῇ σχέσει, ᾗ τὸ ἀκατάτακτον τοῦ κατατεταγμένου διέστηκε, καὶ ἔστι τὸ μὲν γένος μηδέπω καταταχθέν, ὥσπερ εἴτις τὸν ἄνθρωπον αὐτὸν καθ' αὑτὸν νοήσειε, τὸ δὲ εἶδος ἤδη κατατεταγμένον εἰς τὰς κατὰ μέρος διαφοράς, ὥσπερ τὸν πολίτην φυλέτην ἐπινοοῦμεν.

27. Πῶς οὖν ὁ μὲν ἄνθρωπος κατὰ τοῦ Σωκράτους λέγεται, τὸ δὲ εἶδος κατὰ τοῦ ἀνθρώπου, οὐκέτι δὲ κατὰ τοῦ Σωκράτους τὸ εἶδος, καὶ κατὰ μὲν τοῦ ἀνθρώπου τὸ ζῶον, κατὰ δὲ τοῦ ζώου τὸ γένος, οὐκέτι δὲ κατὰ τοῦ ἀνθρώπου τὸ γένος κατηγορεῖται;

Ὅτι κατὰ τοὔνομα, οὐ μέντοι κατὰ τὸν λόγον κατηγορεῖται τὰ ἀνωτέρω κατὰ τῶν ὑποκειμένων. οὔτε γάρ, ἐάν τις ἀποδιδῷ τί ἐστιν ἄνθρωπος, ἐρεῖ ὅτι τὸ εἶδος, οὔτε ὁ λόγος τοῦ εἴδους ἐφαρμόττει καὶ κατὰ τοῦ ἀνθρώπου, καὶ περὶ τοῦ γένους δὲ ὁ αὐτὸς λόγος. ἔτι τὸ μὲν εἶδος καὶ τὸ γένος ἄλλοις συμβέβηκε καὶ ἀντιδιαιρεῖται, τὸ μὲν πρὸς τὸ μὴ τῶν εἰδῶν εἶναι, τὸ δὲ πρὸς τὸ μὴ τῶν ἀτόμων εἶναι,

---

1. τοῦ om. S. — 3. ἂν ῥηθείη S., τὸ om. S. — 7. καθ' ὑποκειμένου λεγόμενα om. R. — 13. ἀπαντήσωμεν R. — 16. ἑαυτὸν S. — 25. καὶ ante κατὰ om. R. — 27. ἄλλου R.

τὰ δὲ καθ' ὑποκειμένου λεγόμενα συμπληρωτικὰ τῆς οὐσίας ἦν. ἔτι τὰ μὲν κατὰ παντὸς λέγεται· πᾶς γὰρ ἄνθρωπος ζῶον εὐλόγως ἂν ῥηθείη, διότι οὐδέν ἐστι τῶν ὑπὸ τὸν ἄνθρωπον, καθ' οὗ οὐ λέγεται τὸ ζῶον· πᾶς δὲ ἄνθρωπος εἶδος ψευδῶς ἂν ῥηθείη. καὶ πᾶν ζῶον γένος οὐχ ὑγιῶς λέγεται· ὁ γάρ τις ἄνθρωπος ἄνθρωπος, οὐ μὴν εἶδος, καὶ τὸ τὶ ζῶον ζῶον μέν, οὐ μὴν γένος. οὐκ ἄρα κατὰ παντὸς λέγεται ταῦτα· ἀλλ' ὅτι κοινότητές εἰσιν, οὕτω καθ' αὐτῶν ῥηθήσονται, καὶ ὅτι τὸ μὲν συμπληρωτικὸν ἦν τῆς οὐσίας, τὸ δὲ ἐνδεικτικὸν τῆς τοῦ ὀνόματος κατὰ κοινὴν σχέσιν θέσεως· οὐ γάρ ἐστιν ὁ ἄνθρωπος ἢ ὁ Σωκράτης αὕτη ἡ κοινότης ἡ κατηγορουμένη. μᾶλλον οὖν ἔοικεν αὕτη τοῦ ὀνόματος εἶναι παραστατικὴ παρὰ ποίαν σχέσιν ὠνόμασται ὁ ἄνθρωπος ἤτοι ζῶον καὶ ἔστιν ὀνόματα ὀνομάτων δεύτερα προτέρων, ἀλλ' οὐχὶ τῆς προηγουμένης ἔχεται τῶν λέξεων σημασίας, οὐδὲ τὴν φύσιν αὐτὴν σημαίνει τῶν ὀνομαζομένων πραγμάτων, ἀλλὰ κατὰ ποῖον ὠνόμασται χαρακτῆρα ἐνδείκνυται.

28. Ἀλλὰ δοκεῖ πως ἐναντίωσίν τινα ἡ παροῦσα διάταξις ἔχειν· ὅταν μὲν γὰρ λέγῃ τῶν ὑπ' ἄλληλα γενῶν μηδὲν κωλύειν τὰς αὐτὰς εἶναι διαφοράς, ὥσπερ ἐνίων ἀποφαίνεται, καὶ οὐχ ἁπλῶς περὶ ἁπασῶν· ὅταν δὲ προσδιορίζῃ τὰ ἐπάνω τῶν ὑπ' αὐτὰ κατηγορεῖσθαι, καὶ ὅσαι τοῦ κατηγορουμένου διαφοραί εἰσι, τοσαύτας εἶναι καὶ τοῦ ὑποκειμένου, ὡς περὶ πασῶν καθόλου ἀποφαίνεται μηδεμίαν αὐτῶν ὑπεξαιρούμενος.

Δῆλον μὲν οὖν ὅτι οὐχ ὡσαύτως διορίζεται τὸ ἐπί τινων καὶ τὸ ἐπὶ πασῶν, ἀλλὰ διαφόρως· οὐσῶν γὰρ τῶν μὲν εἰδοποιῶν διαφορῶν, καθ' ἃς εἰδοπεποίηται καὶ πεποίωται τὸ γένος, οἷον τὸ ζῶον κατὰ τὸ ἔμψυχον καὶ αἰσθητικόν, ἅπερ αὐτοῦ καὶ συμπληροῖ τὴν οὐσίαν· οὐσῶν δὲ καὶ ἄλλων διαιρετικῶν καθ' ἃς διαιρεῖται τὸ γένος εἰς τὰ ὑπ' αὐτὸ εἴδη, οἷον τὸ ζῶον εἰς τὸ λογικὸν καὶ ἄλογον, φανερὸν γέγονεν, ὅτι αἱ μὲν κατ' οὐσίαν ὑπάρχουσαι τῷ ζώῳ διαφοραὶ

---

7. τέ εἰσιν S. — 8. ἦν om. S., δεικτικὸν S. — 16. πως] πρὸς R., ἡ παρ. διάτ. ἐναντ. τινα S. — 18. περὶ] παρὰ S. — 21. παρὰ R., ὑποφαίνεται R. — 26. καὶ ἄλλων] ἄλλως S. — 28. κατουσίαι S., ζώῳ] εἴδει S.

πολὺ πρότερον ὑπάρξουσι καὶ τῷ ὀρνέῳ, αἱ δὲ τέμνουσαι αὐτὸ εἰς τὰ περιεχόμενα ὑπ' αὐτοῦ αὗται ἐνίοτε μὲν τῷ ὀρνέῳ ὑπάρξουσιν, ὅταν μὴ κοινωνῶσι πρὸς αὐτό, ὡς ἡ τοῦ λογικοῦ. ἀληθὲς ἄρα τὸ καὶ ἐνίας καὶ πάσας εἶναι ταύτας διαφορὰς τοῦ κατηγορουμένου καὶ ὑποκειμένου, καὶ ποίας ἑκατέρας διεκρίναμεν. οὐκ ἄρα διορθωτέον τὴν λέξιν μεταστρέφοντας ἐπὶ τἀναντία τὴν ἀπόφασιν οὕτως, ὥστε ὅσαι τοῦ ὑποκειμένου, τοσαῦται καὶ τοῦ κατηγορουμένου. ἡμάρτηται γὰρ ἡ διόρθωσις· οὐχ ὅτι γὰρ ἡ τοῦ ἀνθρώπου διαφορὰ λέγοιτ' ἂν κατὰ τοῦ ζῴου, τὸ δίπουν φημὶ καὶ τὸ διαλεγόμενον καὶ τὰ ἄλλα, ἀλλὰ δῆλον, ὅτι τὸ μὲν οὐδὲν κωλύει καὶ τὸ μὴ πάσας κατηγορεῖσθαι ταῖς διαιρετικαῖς προσήκει, τὸ δὲ πάσας κατηγορεῖσθαι ταῖς εἰδοποιοῖς. δοκεῖ δέ μοί γε καὶ αὐτὸς ἐνδείκνυσθαι ταῦτα, δι' ὧν ἀντιδιαιρεῖ τὸ ἐπάνω τῷ ὑποκάτω, οὐκ ἐπὶ τῶν γενῶν μόνον τῷ τοιούτῳ διορισμῷ χρώμενος, ἀλλὰ καὶ ἐπὶ τῶν διαφορῶν. ἐπάνω μὲν οὖν ταύτας θήσομεν διαφορὰς τὰς συμπληρωτικὰς αὐτῆς τῆς οὐσίας, ὅσας καὶ οἷόντε κατηγορεῖν ἐπὶ τῶν ὑποκειμένων, ὑποκάτω δέ, ὅσα περιέχονται ἐν τοῖς προτέροις αὐτῶν γένεσιν ἃς ἐνίοτε οὐχ οἷόντε κατηγορεῖσθαι. διέλοι δ' ἄν τις καὶ τὰς μὲν γενικὰς προσαγορεύων διαφοράς, τὰς δὲ εἰδικάς, εἰδικὰς μὲν ὅσαι τέμνουσι τὸ γένος καθ' ἃς καὶ εἰδοποιεῖται τὰ ὑπὸ τὰ γένη εἴδη, γενικὰς δὲ αὖ τὰς τῶν γενῶν συμπληρωτικὰς διαφορὰς αἷς εἰδοποιεῖται τὰ γένη· εἰσὶ μέντοι τινὲς καὶ τῶν διαιρετικῶν, ἃς οἷόντε ὑπάρχειν τοῖς αὐτοῖς ὡς ἐπὶ τῶν ὑπαλλήλων ἐπιδέδεικται.

**29.** Τί δ' ἂν εἴποις περὶ τοῦ τὰ ἕτερα γένη ταῖς αὐταῖς διαφοραῖς χρῆσθαι; ἰσόπλευρα γὰρ καὶ ἀνισόπλευρα ἐπίσης ἑκάτερα σχήματα λέγεται, καὶ ἓν κατ' αὐτῶν κοινὸν ὄνομά ἐστι τὸ σχῆμα, καὶ τῶν

---

4. τὰς κατηγορουμένας καὶ ὑποκειμένας S. — 5. ἑκατέρας] fort. ἑκατέρας λέγει. — 6. ὅσα . . τοσαῦτα S. — 10. τὸ post καὶ om. R. — 15. αὐτῆς τῆς] αὐτῶν τὰς R. — 16. ἐπὶ] ἐστι S., ὅσον περιέχονται S. — 17. τε] τέ ἐστι S. — 19. ὅσον S. — 20. καὶ om. S. — 21. μέντοι] μὲν S.

ἀρετῶν καὶ κακιῶν διαφερουσῶν τῷ γένει τὰς αὐτὰς εἶναι διαφοράς· αἳ μὲν γὰρ λογικαὶ αἳ δὲ ἄλογοι κατηγοροῦνται ἐπ' ἀμφοτέρων.

Οἱ δὴ ταῦτα ἀπορoῦντες διημαρτήκασι παρὰ τὴν ἄγνοιαν τοῦ ἑτέρου γένους. ταῦτα γὰρ εἰ καὶ μὴ ὑπάλληλά ἐστιν, ὅμως οὐκ ἔστιν ἕτερα, εἴ γε ὑπὸ ἓν κοινὸν γένος ὑποτάττεται, ὥσπερ ἐπὶ τοῦ εὐθυγράμμου καὶ ὑπὸ τὸ σχῆμα· καὶ ἡ ἀρετὴ τοίνυν καὶ ἡ κακία ὑπὸ τὴν ἕξιν ταχθήσεται, καὶ οὐκ ἔσται ἕτερα ἀλλήλων τὰ τοιαῦτα γένη.

30. Τούτοις δέ ἐστιν ὅμοια καὶ τὰ τοιαῦτα ἀπορήματα· τὸ γὰρ πεζὸν φασὶ καὶ τὸ πτηνὸν καὶ τὸ ζῶον καὶ τὸ ὄρνεον τὰς αὐτὰς ἔχει διαφορὰς ἐνίας, οὐ μόνον ἄρα ἐπὶ τῶν ὁμογενῶν καὶ τῶν ὑπαλλήλων, ἀλλὰ καὶ ἐπὶ τῶν διεστηκότων αἱ αὐταὶ ἐνίοτε εἰσὶ διαφοραί. καὶ οὕτως ψεῦδος ἔσται τὸ νυνὶ λεγόμενον. ἔστι δὲ καὶ πρὸς τούτους ἡ αὐτὴ ἀπάντησις. ἐροῦμεν γὰρ πρὸς αὐτούς, ὅτι κακῶς λαμβάνετε τὰ ἕτερα γένη, οὐ γὰρ τὰ ἐπὶ βραχὺ παραλλάττοντα, ἀλλὰ τὰ πάντῃ διεστηκότα ἐστὶν ἕτερα. πάλιν ὅταν λέγωσι τὸ ζῶον πεζὸν καὶ τὸ ζῶον πτηνὸν τὰς αὐτὰς ἔχειν διαφοράς· ποιηφάγα γὰρ καὶ σαρκοφάγα καὶ σπερμοφάγα ἐστὶν ἀμφότερα, καίτοι μὴ ὄντα ὑπάλληλα ἀλλ' ἀντιδιαιρούμενα, ὥστε ῥᾴδιον καὶ πρὸς τοῦτο τὸ ἀπόρημα ἀντιθεῖναι τὸ αὐτό, τὸ γὰρ πεζὸν καὶ τὸ πτηνὸν ἄμφω κοινωνεῖ τοῦ ζώου καὶ οὐ πάντῃ ἕτερα εἴληπται γένη.

31. Ἀλλὰ δὴ συντόμως ἐπελθέ μοι τὸν περὶ τοῦ εἴδους καὶ διαφορᾶς λόγον.

Τὸ μὲν οὖν εἶδος κοινοῦ ἔχεται λόγου, χωριστὸν δέ ἐστι τοῦ οἰκείου γένους ταῖς εἰδοποιοῖς διαφοραῖς, ἴδιον δὲ πρὸς διορισμὸν ἔχει τὰ κατὰ ἀτόμων ἔχειν τὴν κοινωνίαν τοῦ λόγου, ὥσπερ τὸ γένος τὸ κατὰ εἰδῶν ἔχειν τὸ κοινόν. διαφορὰ δέ ἐστι τὸ χωρίζειν πεφυκὸς ἀπὸ τῶν ὑπὸ τὸ γένος τὰ ὑπ' αὐτῷ τεταγμένα, καὶ ὅτῳ διαφέρει

---

3. δὴ] δὲ S., περὶ S. — 4. ἐστιν] ἔτι S. — 11. ἐπὶ om. R. — 12. οὕτως om. S., ἔσται] ἐστὶ S., δὲ] δὴ S. — 13. πρὸς αὐτοὺς om. R., καλῶς S. — 16. ποιηφάγα] lacuna in S. — 17. εἰσὶν S. — 19. πτηνὸν καὶ τὸ πεζὸν S. — 21. περὶ om. S., καὶ] καὶ τῆς S. — 25. ἔχειν] fort. ἔχει — 27. διαφέρειν S.

ἕκαστον τῶν εἰδῶν· κατὰ γὰρ τὸ γένος οὐ διενήνοχεν. οὐ μέντοι ἁπλῶς τὸ χωρίζον ἐστὶ διαφορά, ἀλλὰ τὸ ἐν τῷ εἶναι χωρίζον. οὐ γὰρ εἰ τὸ πλεῖν χωρίζει ἡμᾶς ἀπὸ τῶν ἄλλων ζώων, ἔσται διαφορὰ τοῦ ἀνθρώπου ἡ τοῦ πλευστικοῦ. οὐ γὰρ κατ' οὐσίαν τὸν χωρισμὸν αὕτη ποιεῖται, κατὰ συμβεβηκὸς δὲ ἄλλως. βούλεται οὖν ἡ διαφορὰ γίγνεσθαι οὐσίας μέρος· περὶ γὰρ τὴν οὐσίαν τὴν ἰδιότητα ἀφορίζει τῶν κεχωρισμένων; διαφορὰ δὲ καὶ εἶδος διαφέρει ὡς ὅλον καὶ μέρος. ὥσπερ γὰρ τὸ ὄνομα τὸ λογικὸν ἔχει πρὸς τὸν ὅρον, οὕτω καὶ τὸ πρᾶγμα τῆς διαφορᾶς περιέχεται ὑπὸ τοῦ εἴδους.

**32.** Ἐπεὶ δὲ ἐν πᾶσιν ἀναγκαιότατόν ἐστιν εἰδέναι τὰς εὑρέσεις τῶν προστιθεμένων θεωρημάτων, καὶ ἐνταῦθα πειραθῶμεν ἐπὶ τῶν παρόντων διά τινος μεθόδου τεχνικῆς τὴν εὕρεσιν αὐτῶν παραδοῦναι.

Ὅτι μὲν οὖν ἀπὸ τῆς κοινότητος τῆς οὐσιώδους τὸ γένος καὶ τὸ εἶδος εὑρίσκεται φανερόν, καὶ τοῦτο δὲ πρόδηλον ἤδη ἐκ τῶν προδιωρισμένων, ὅτι τὸ μὲν εἶδος τῇ κοινότητι διατείνει περὶ τὰ καθέκαστα, τὸ δὲ γένος περὶ τὰ εἴδη, καὶ ἔστι καθολικώτερον μᾶλλον. τὴν δὲ διαφορὰν εὑρίσκομεν ἀπὸ τῆς κατ' εἴδη ἑτερότητος χαρακτηριστικῆς. ἔχει μὲν οὖν τὸ μέσον οὐσίας καὶ ποιότητος ἤτοι ἐξ ἀμφοῖν συνεστηκός, ἢ τῆς οὐσίας συλλαβούσης τὸ ποιόν, ἢ ἀνάπαλιν τῆς ποιότητος τὴν οὐσίαν ἢ μεταξὺ τῆς διαφορᾶς οὔσης τῶν ποιῶν τε καὶ τῆς οὐσίας, ὡς ἐκβεβηκέναι αὐτὴν ἀμφότερα τὰ ἄκρα. δεῖ τοίνυν τὸν λόγον τῆς διαφορᾶς μηδαμοῦ ἀπέχεσθαι τῆς οὐσίας τῶν εἰδῶν· εἰ δὲ μή, γίνεται κατὰ συμβεβηκός, ἀλλ' ὥσπερ εὑρίσκεται τὸ γένος ἀπὸ τῆς τῶν εἰδῶν καὶ τῆς οὐσίας κοινωνίας, τὰ δὲ εἴδη, ἡνίκα ἂν τὰ ἀριθμητὰ κοινωνῇ τοῦ εἶναι, οὕτως δεῖ καὶ τὰς διαφορὰς ἀπὸ τῆς ἑτερότητος τῆς θεωρουμένης κατὰ τὰς ἰδιότητας τῆς οὐσίας περιλαμβάνεσθαι· οὕτω γὰρ ἂν εὔληπτος αὐτῶν γένοιτο ἡ εὕρεσις.

**33.** Ἐξήγησαι τὸ ἐδάφιον, ὅπου φησὶ τῶν ἑτέρων γενῶν ἑτέρας εἶναι τῷ εἴδει τὰς διαφοράς.

---

2. ἐστὶ τὸ χωρίζον S. — 9. ἐπέχεται S. — 11. scrib. προτιθεμένων. — 14. δὲ] δὴ S. — 19. συνεστὸς S., λαμβανούσης S. — 25. κοινωνῇ τὰ ἀριθμητὰ S., δεῖ] δὴ libri. — 28. ἑτερογενῶν S.

Τῷ εἴδει εἶπεν ἀντὶ τοῦ τῷ λόγῳ, ὥσπερ καὶ ἐν τοῖς Τοπικοῖς σύνηθες αὐτῷ ταῦτα ἐπαλλάττει ἀντὶ ἀλλήλων, βούλεται δὲ διὰ τούτου ἀκριβολογεῖσθαι περί τινος μείζονος. ἵνα γὰρ μὴ τῷ ὀνόματι προσέχοντες τὰς αὐτὰς λέγωμεν διαφορὰς σκεύους καὶ ζώου, οἷον τὸ ὑπόπουν καὶ ἄπουν, διὰ τοῦτο προσέθηκε τῷ λόγῳ· ταῦτα γὰρ ὀνόματι μόνῳ δοκεῖ τὰς αὐτὰς διαφορὰς ἔχειν. ἢ καὶ οὕτως ἂν εἴποιμεν, ὡς ἕτεραι τῷ εἴδει εἰσὶν αἱ λαμβανόμεναι, ὡς ἐν τῷ εἴδει ἑκάστου τῶν ἑτέρων γενῶν, ἐν μὲν τῷ ζώῳ τοῦ ἀνθρώπου, ἐν δὲ τῇ ἐπιστήμῃ τῆς μουσικῆς λαμβανομένης δύναται τὸ ἕτεραι τῷ εἴδει καὶ τὰς εἰδοποιοὺς σημαίνειν διαφοράς, ἵνα μὴ λάβῃ τις τὰς κατὰ συμβεβηκὸς ὡς τὸ πλεῖν τοῦ ἀνθρώπου· οὐ γὰρ αἱ ὁπωσοῦν χωρίζουσαι διαφοραί, ἀλλ' αἱ κατὰ τὸ εἰδοποιεῖν καὶ τὸ εἶναι αὗται κυρίως εἰσὶν ἕτεραι τῷ εἴδει.

**34.** Λοιπὸν τοίνυν ἐστὶν ἀκριβῶς διελέσθαι, τί ποτέ ἐστι τὸ ἄτομον καὶ ἓν ἀριθμῷ.

Ἄτομον μὲν οὖν λέγεται οὐχ ὡς τὸ ἀδιαίρετον καὶ ἀμέριστον, ἀλλ' ὡς τὸ μὴ δεχόμενον τομὴν γένους εἰς εἴδη, μηδὲ εἴδους εἰς τὰ καθ' ἓν ἀριθμῷ διωρισμένα. ἓν δὲ ἕκαστον τῶν αἰσθητῶν λέγεται οὐ κατὰ μίαν δύναμιν, ἀλλ' ὅτι πάντα εἰς μίαν νεύει οὐσίαν. ἐπεὶ δὲ πολλαχῶς τὸ ἓν λέγεται καὶ γένει καὶ εἴδει καὶ κατ' ἄλλους τρόπους πλείονας, ἀφορίζει νῦν ἓν τὸ κατ' ἀριθμὸν λαμβάνων οὐ μόνον ᾧ ἀριθμοῦμεν, ὡς συκοφαντοῦσί τινες, ἀλλὰ καὶ τὸ ἀριθμούμενον· οὕτω γὰρ καὶ τοὺς πέντε ἵππους ἐν ἀριθμῷ τινι λέγομεν.

**35.** Ἀλλ' εἰ εἶδός ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι [τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι] κατηγορούμενον, τίνι διαφέρει ὁ ἄτομος εἷς τοῦ ἀτόμου καὶ ἑνός· ἓν γὰρ ἀριθμῷ ἐστι καὶ οὗτος κἀκεῖνος.

Οἱ μὲν οὖν λύοντες τὴν ἀπορίαν ταύτην κατὰ τὸ ἰδίως ποιόν,

---

2. fort. ἐπαλλάττειν. — 9. ἕτερα R. — 10. λάβοι R. — 12. τὸ post κατὰ om. S. — 25. τὸ κατὰ . . ἐστι delenda. — 26. εἷς] fort. καὶ εἷς — 28. λύοντες] λέγοντες R.

τουτέστιν ὅτι ὁ μὲν φέρε γρυπότητι ἢ ξανθότητι ἢ ἄλλῃ συνδρομῇ ποιοτήτων ἀφώρισται, ἄλλος δὲ σιμότητι ἢ φαλακρότητι ἢ γλαυκότητι, καὶ πάλιν ἕτερος ἑτέραις, οὐ καλῶς μοι δοκοῦσι λύειν· οὐ γὰρ ἡ συνδρομὴ τῶν ποιοτήτων ἀριθμῷ ποιεῖ διαφέρειν, ἀλλ' εἴπερ ἄρα ποιότης· μᾶλλον οὖν ἐκείνως ἀπαντητέον, ὅτι τὰ τῷ ἀριθμῷ ἕτερα οὐ διαφέρει ἀλλήλων τῇ φύσει καὶ τῇ οὐσίᾳ, ἀλλ' ἔχει τὸ ἕτερον κατὰ τὸ ἀριθμεῖσθαι. ἕτερα οὖν ὡς ἀριθμητά· ἐν γὰρ τῷ καθ' ἓν ἀριθμεῖσθαι ἕκαστον ἐπέρχεται ὁ ἀριθμός. διαφέροντα οὖν τῷ ἀριθμῷ δοκεῖ μοι λέγειν, τουτέστι διεστηκότα ὡς ἀριθμητά, ἵν' ᾖ τὸ λεγόμενον ἐπὶ τοῦ εἴδους τοιοῦτον, ὅτι τὸ κατὰ πλειόνων καὶ διεστηκότων τῷ ἀριθμεῖσθαι εἶδός ἐστιν, ἵνα τὸ διαφέρειν ἀντὶ τοῦ διεστηκέναι λαμβάνωμεν.

Ἀκήκοα δέ τινων πλεονασμὸν ἐγκαλούντων τῇ τομῇ ταύτῃ, ὡς οὐ καλῶς τῷ ποιεῖν τὸ πάσχειν ἀντέταξεν· ἐχρῆν γὰρ ἀμφότερα ὑφ' ἓν γένος εἶναι τὸ κινεῖσθαι.

Ἔστι δὴ τούτου λύσις τοιαύτη. οὔτε τὸ ποιοῦν ᾗ ποιεῖ πάσχει, οὔτε τὸ πάσχον ᾗ πάσχει ποιεῖ, οὐδὲ τοῖς συνθέτοις συνέρχεται τὰ δύο εἰς ταὐτὸ ὑπὸ τοῦ τὰς δύο ἀρχὰς εἰς ταὐτὸ συμπίπτειν. τὸ μὲν οὖν κινεῖσθαι ἐν τῷ πάσχειν ἐστί, τὸ δὲ ποιοῦν κινεῖ ἀκίνητον ὄν. ἔνια δὲ τῶν ποιούντων ἐκ τοῖς αἰσθητοῖς κατὰ συμβεβηκὸς κεῖται ἀπὸ τοῦ τὰς δύο ἀρχὰς ἐν αὐτοῖς ἔχειν, καὶ εἶναι μέν τι αὐτῶν κινοῦν, εἶναι δὲ κινούμενον ἕτερον. ἀντιδιεῖλεν οὖν τῷ ποιοῦντι τὸ πάσχειν κατὰ τὰ ἑαυτῷ περὶ τῶν αἰτίων δοκοῦντα.

36. Ἄλλη πάλιν ἀπορία καθ' ἕτερον τρόπον τὴν περιττότητα αἰτιᾶται. τὰ μὲν γὰρ καθ' αὑτὰ τὰ δὲ πρός τι διαιροῦνται, καὶ ἐν τούτοις περιλαμβάνειν δοκοῦσι πάντα τὰ γένη· ἄλλοι δὲ εἰς οὐσίαν καὶ συμβεβηκὸς διατέμνοντες αὐτὰ ἡγοῦνται ἀρκούντως διαιρεῖσθαι.

---

5. ἐκείνω S. — 10. διεστηκότων] διαφερόντων S. — 11. τῷ] τὸ S. — 14. τὸ] καὶ τὸ S. — 17. οὐδὲ S. — 19. ἀκίνητον] ἀεὶ κινητὸν S. — 21. τοῦ τὰς] τούτου R., τι] τοι S., αὐτῶν . . πάσχειν om. S. — 23. παρὰ R. — 24. ἀπορία] αἰτία S. — 25. παραλαμβάνειν R.

*Οὐκ ὀρθῶς οἰόμενοι· οἱ μὲν γὰρ εἰς ὑποκείμενον καὶ συμβεβηκὸς διχοτομοῦντες τὰς κατηγορίας ἐφάπτονται μέν πως τῆς Ἀριστοτέλους πρώτης καὶ εἰς ἐλάχιστα τῶν γενῶν τομῆς, καὶ ταύτῃ γε οὐχ ἁμαρτάνουσιν· ᾗ δὲ παραλείπουσι τὰ καθόλου καὶ ἐν μέρει, ταύτῃ δὲ κακῶς χρῶνται καὶ ἀτελῶς τοῖς Ἀριστοτελικοῖς. οἱ δ' αὖ εἰς οὐσίαν καὶ πρός τι ἀντιδιαιροῦντες, ἐπειδὴ τὰ συμβεβηκότα ἄλλου ἐστὶ, καὶ οὕτω δύο μόνα ποιοῦνται γένη τὰς ὅλας κατηγορίας, οὗτοι δὲ ἐπιτίθενται τῇ ἐνδείᾳ τῶν ὀνομάτων· ἢ γὰρ συμβεβηκότα οὐ πάντα ἐστὶν ἄλλου, ἀλλὰ ἓν μόνον τὸ αὐτῷ λεγόμενον πρός τι. δοκεῖ δὲ πρός τι εἶναι πάντα τὰ συμβεβηκότα διὰ τὸ ἡμᾶς ἀφαιρεῖν τὰ ὀνόματα τῶν πεφυκότων συσσημαίνεσθαι διὰ τὸ γνώριμον. οὕτως ἡ λευκότης δοκεῖ τινος εἶναι οὐκ οὖσα καθ' αὐτήν τινος. ἐπὶ τούτῳ γε τῷ λόγῳ καὶ τὰ προηγουμένως καθ' αὑτὰ πρός τι ἐστί. Σωκράτης γὰρ Σωφρονίσκου λέγεται οὐχ οὕτως, ᾗ πέρ ἐστι Σωκράτης, ἀλλὰ παραλείπομεν ὡς γνώριμον τὸ υἱός, ἐπεὶ ᾗ Σωκράτης οὐδενός. καὶ τὸ συμβεβηκός, εἰ μὲν ἀναφέροιμεν εἰς τὸ ὑποκείμενον, πρός τι, ὥσπερ ὁ ἀγρὸς ὡς κτῆμα πρός τι, αὐτὸ δὲ καθ' αὑτὸ τὸ συμβεβηκὸς φύσις τις ἰδία. καὶ ἡ ὕλη δὲ καὶ τὸ ὑποκείμενον καθὸ μὲν τυγχάνει τούτων τῶν προσηγοριῶν, πρός τι ἐστί· τινὶ γὰρ ὑπόκειται· καθὸ δὲ ἀρχή, κατὰ διάστασίν ἐστι καὶ καθ' ἑαυτό. δεῖ τοίνυν μὴ ῥημάτων συνηθείας, ἀλλὰ τῆς τῶν πραγμάτων φύσεως ἐξεταστὰς γίνεσθαι, μηδὲ τῇ ἐνδείᾳ τῶν ὀνομάτων ἐπιτίθεσθαι, ἀλλὰ ταῖς διαφόροις ἰδιότησι τῶν πραγμάτων συνακολουθεῖν. οὕτω γὰρ οὐχ εὑρεθήσεται τὰ γένη ἐλάττονα ὄντα τῶν δέκα. εἰ δέ τις εἰς ὑποκείμενον διαιρούμενος ὡς περιττεύουσαν εὐθύνει τὴν εἰς δέκα διανομήν, καὶ οὗτος ἀορίστως ἀντιδιαιρεῖ τὰ περὶ αὐτὸ πρὸς ἓν καὶ ὡρισμένον τὸ ὑποκείμενον. ταῦτα μὲν οὖν ἐν τῷ παρόντι ἀρκεῖ μετρίως ἀντιῤῥηθέντα πρὸς τοὺς περιττεύειν λέγοντας τὴν τῶν κατηγοριῶν διάταξιν.*

---

1. *εἰς*] lac. S. — 2. *πως*] *που* S. — 8. *ἄλλου*] *ἄλλα* S. — 9. *αὐτὸ* S. — 11. *οὕτως*] *οὔτε* S. — 12. *καθ' αὑτὴν*] *κατ' αὐτὴν* libri. — 13. *προσηγουμένως* libri. — 22. *ἰδιότητι* S. — 24. *εἰς*] *ὡς* S., *ὑποκείμενον καὶ συμβεβηκός*? — 27. *ἀρκεῖ ἐν τῷ παρόντι* S.

**37.** Ἀπάντησον δὲ καὶ πρὸς τοὺς ἐλλείπειν αὐτὴν ἀποφαινομένους· διὰ τί γάρ φασι τῷ μὲν ποιεῖν [καὶ] τὸ πάσχειν ἀντέταξεν, οὐκέτι δὲ τῷ ἔχειν τὸ ἔχεσθαι.

Οὔτοι παραλείπων αὐτήν, ὡς ἡμεῖς ἂν εἴποιμεν δικαιολογούμενοι, ἀλλ' ὅτι ἐνέπιπτεν εἰς τὴν τοῦ κεῖσθαι κατηγορίαν τὴν ἤδη προωρισμένην. ἔχει μὲν γάρ τις τὴν ἀσπίδα, ἔχεται δὲ ἡ ἀσπὶς ἐν τῷ οὑτωσὶ περικεῖσθαι· οὐκ ἄλλο τι οὖν ἔσται ἡ θέσις ἢ τάξις τῶν ἐχομένων.

Ἀλλὰ διὰ τί τοὺς συνδέσμους παρέλιπεν, ἀποροῦσιν.

Ἐπειδή φαμεν ἡμεῖς, οὔτε προηγουμένη ἐστὶν αὐτῶν ἡ χρεία τοῦ λόγου ἀλλὰ δευτέρα, οὔτε τελεία ἀλλ' ἀτελής, οὔτε λεκτικὴ συμβολικὴ δὲ μᾶλλον, ἀλλ' οὐδὲ σημαίνει προηγουμένως, συσσημαίνει δὲ μᾶλλον, ὥσπερ τὰς διπλᾶς εἰώθαμεν παραγράφειν, αἵ τινες μετὰ τῶν γεγραμμένων μὲν συσσημαίνουσι τὸ ἀπαρτίζον τῆς διανοίας, αὐταὶ δὲ καθ' ἑαυτὰς οὐδὲν δηλοῦσι. καὶ οἱ σύνδεσμοι τοίνυν συσσημαίνουσι μετὰ τῶν ἄλλων μερῶν τοῦ λόγου, αὐτοὶ δὲ καθ' ἑαυτοὺς οὐκ εἰσὶ σημαντικοί, ἀλλ' ἐοίκασι τῇ κόλλῃ· διόπερ οὐδὲ λόγου στοιχεῖα αὐτοὺς τιθέμεθα, ἀλλ' εἴπερ ἄρα, μέρη λέξεως. κἂν σημαίνωσι δὲ οὗτοι, κατὰ σύνταξιν σημαίνουσιν, ὥσπερ ἡ βᾶ συλλαβή, τὸν δὲ λόγον εἶναι φαμὲν περὶ τῶν ἄνευ συντάξεως καὶ καθ' ἑαυτὰς σημαινουσῶν λέξεων, καὶ κατὰ τὰς προηγουμένας χρήσεις τοῦ λόγου, οὐ μέντοι κατὰ τὰς ἑπομένας.

Πάλιν τινὲς ἐπιζητοῦσι τὰ ἄρθρα ποῦ ταχθήσεται.

Ἔστι δὴ καὶ περὶ τούτων ὁ αὐτὸς λόγος· συνδέσμων γὰρ ἔχει δύναμιν ἐπὶ ἀῤῥένων καὶ θηλειῶν μετὰ τοῦ καὶ τὸ ὑποκείμενον συμπαραδηλοῦν ἀορίστως, διὸ καὶ ἀόριστά τινες αὐτὰ καλοῦσι· τὸ μὲν γὰρ τὸ ὑποκείμενον παρίστησι, μετὰ δὲ τοῦ ἄῤῥενος συνταττόμενον ἄῤῥεν τι δηλοῖ, μετὰ δὲ τοῦ θήλεως θῆλύ τι. παρῆκται δὲ τὸ τόδε

---

2. μὲν] μέντοι R., καὶ om. S. — 3. τὸ ἔχειν τῷ R. — 4. οὔτε S., παραλείπειν R. — 5. τὴν om. S. — ἤδη om. R. — 7. ἀλλ' ὅτι οὖν ἐστι S., σύνθεσις S. — 11. σημαίνει S. — 12. παρεγγράφειν R., τὸ γεγραμμένον R. — 14. σημαίνουσι Simplicius. — 18. κᾶ S. — 19. αὐτὰς R.

ἀπὸ τοῦ τινός, συνεκφαίνει δὲ ὁποτερονοῦν τῶν ἄρθρων τὸ ἄῤῥεν ἢ τὸ θῆλυ ἐν τῇ συντάξει, αὐτὸ δὲ καθ' αὑτό ἐστιν ἄσημον.

Ἀλλ' αἱ ἀποφάσεις φασὶ καὶ αἱ στερήσεις τά τε ἀόριστα καὶ αἱ ἐγκλίσεις καθ' ἑκάστην κατηγορίαν ἐν τίνι ταχθήσονται;

Περὶ δὴ τούτου βέλτιον αὐτὸς Ἀριστοτέλης ἐν τοῖς ὑπομνήμασιν ἀνεδίδαξε· προθεὶς γὰρ τὰς κατηγορίας σὺν ταῖς πτώσεσιν αὐτῶν καὶ ταῖς ἀποφάσεσι καὶ ταῖς στερήσεσι καὶ τοῖς ἀορίστοις ὁμοῦ συνέταξεν αὐτῶν τὴν διδασκαλίαν, πτώσεις τὰς ἐγκλίσεις ὀνομάζων. ἔσται δὴ οὖν τὸ ἀνυποδετεῖν τῆς αὐτῆς κατηγορίας, ἧς καὶ τὸ ὑποδεδέσθαι, καὶ τὸ ἀναπνεῖν τῆς τοῦ ἔχειν κατηγορίας, ὥστε καὶ τὸ ὡπλίσθαι. καὶ αἱ ἀποφάσεις οὖν τούτων ἔσονται ὧν καὶ αἱ καταφάσεις, καὶ τὰ ἀόριστα τούτων ὧν καὶ τὰ ὡρισμένα· καθόλου γὰρ ἐν τούτῳ ἔχουσι τὸ εἶναι αἱ ἀποφάσεις καὶ στερήσεις ἐν τῷ τὰ ἀναιρούμενα μὴ εἶναι. εἰκότως ἄρα ἐπ' ἐκεῖνα ἀναπέμποιτο τὰ ἐν ἕξει ὄντα καὶ καταφασκόμενα. καὶ ὁ νεκρὸς οὖν τούτου ἔσται οὗ καὶ τὸ ζῷον, καὶ ἡ τυφλότης τοῦ αὐτοῦ οὗ καὶ ἡ ἕξις, καὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος. περὶ δὲ τοῦ ἑνός, ὡς οὐκ ἔστιν ἔξω πῖπτον τῶν κατηγοριῶν, πολλαχοῦ ἄν τις ἀποδείξειε. καὶ γὰρ ὡς ἀρχὴ τῶν ἀριθμῶν καὶ ὡς μέρος ὑπάρχον τοῖς πρός τι συνταχθήσεται, καὶ εἴ τις ἀσώματον καὶ καθ' ἑαυτὸν τὸν ἀριθμὸν τιθείη, οὐσία ἂν εἴη ἡ μονάς· εἰ δέ τις διττὸν ἀριθμὸν ὑπόθοιτο, ἔσται καὶ ἡ μονὰς ἐν δύο γένεσιν, ἐπὶ μὲν τῶν κατὰ σύνθεσιν ἀριθμητῶν ἐν τοῖς πρός τι, ἐπὶ δὲ τῶν νοητῶν ἐν οὐσίᾳ ταττομένη. εἰ δέ τις αὐτὴν καὶ μέρος ποσοῦ νομίζει, ὥσπερ καὶ ὁ Ἀλέξανδρος, ἔσται καὶ ἐν τῷ ποσῷ ἅμα· τοῦτο μέντοι ὅλον παρακρούεται ἡμᾶς· πανταχοῦ γὰρ ἕτερόν ἐστι τὸ πέρας καὶ τὸ ὁριζόμενον ὑπὸ τοῦ πέρατος. καὶ ἡ μονὰς οὖν ἀρχὴ καὶ πέρας οὖσα τοῦ ποσοῦ οὐκ ἂν εἴη ποσόν, ἴσως δὲ βέλτιον ὁμώνυμον καὶ τὸ ἓν ἀπολιπεῖν. πολ-

---

2. ἑαυτὸ S. — 6. προσθεὶς S. — 8. αὐτῶν ὁμοῦ συνέταξεν S. — ἔστι S. — 14. ἐπέκεινα libri. ἀναπέμποιτο] ἀναπέμπεται Simplicius, fort. ἂν add. — 15. καὶ post οὗ om. R. — 18. δείξειε S. — μέρος] μέτρον R. — 19. ταχθήσεται S. — 26. πέρατος] περάματος R.

λαχῇ μὲν καὶ ἄλλῃ, ἀτὰρ δὴ καὶ ὡς νυνὶ λέγομεν, οὐκ ἂν εἴη διαίρεσις προηγουμένη εἰς τὰς κατηγορίας, οὐδὲ θέσις αὐτῶν ἀφωρισμένη εἰς ἓν γένος.

**38.** Τοσαῦτα μὲν καὶ πρὸς τοὺς ἐλλείπειν λέγοντας τὴν διάστασιν ταύτην ἐδικαιολογήσω, πρὸς δὲ τοὺς ἄλλα ἀντ' ἄλλων ἀντεισάγειν τῶν κατηγοριῶν γένη τὸν Ἀριστοτέλην λέγοντας, πῶς ἂν διαπραγματεύσοιο; λέγουσι τοίνυν τινές, ὡς δεῖ τὴν κίνησιν γένος εἶναι τοῦ ποιεῖν καὶ πάσχειν· οὔτε γὰρ εἰς ἄλλο γένος αὐτὴν προσήκει ἀνάγειν, οὔτε ἄνωθέν τι αὐτῆς ἐν τῷ τί ἐστι κατηγορεῖται, οὔτε εἰς τὸ ποιεῖν οἷόντε αὐτὴν τάττειν· καὶ γὰρ ἐν τῷ πάσχειν πολλαὶ κινήσεις, οὐδ' αὖ ἐν τῷ πάσχειν, ὅτι πολλαὶ κινήσεις ποιήσεις.

Πρὸς δὴ ταῦτα ἄνωθεν διοριζόμεθα τὸ δυνάμει καὶ ἐνεργείᾳ θεωρεῖσθαι κατὰ τὰς δέκα κατηγορίας ὁμωνύμως. διόπερ οὔτε τὴν δύναμιν οὔτε τὴν ἐνέργειαν θήσομεν ἐν ταῖς κατηγορίαις· τῶν γὰρ ὁμωνύμων καὶ κατ' οὐσίαν πάντη διαλλαττόντων οὐχ οἷόν τε ἦν ἓν εἶναι κοινὸν γένος. διόπερ καὶ τῆς κινήσεως εἰς ἐντελέχειαν ἀπὸ τῆς δυνάμεως ὁδευούσης ἄλλως μὲν ἐν τῷ ποιῷ, ἄλλως δὲ ἐν τῷ ποσῷ, ἄλλως δὲ ἐν ταῖς ἄλλαις κατηγορίαις, οὐχ οἷόν τε ἐστὶ νοεῖν μίαν κατηγορίαν διὰ τὴν ὁμωνυμίαν, καὶ τὴν στάσιν δὲ εἴ τις ἀντεισάγοι, ταὐτὰ πρὸς αὐτὸν ἀντεροῦμεν, καὶ ἔτι προσήκειν λέγοντες οὐ τοῖς ἐν γενέσει ἀλλὰ μᾶλλον τοῖς νοητοῖς τὴν στάσιν. εἰ δέ τις εἰς τὸ πῶς ἔχον συντάττοι τὰς πλείστας κατηγορίας, ὥσπερ οἱ Στωικοὶ ποιοῦσιν, ἐπιδεικτέον αὐτοῖς, ὅτι πλεῖστα παραλείπουσιν τῶν ὄντων τά τε ἐν τόπῳ καὶ τὰ ἐν χρόνῳ καὶ κατ' ἀριθμὸν ποσὰ καὶ κατὰ πηλίκον καὶ τὸ ὑποδεδέσθαι καὶ ἄλλα τοιαῦτα· οὐδὲν γὰρ ὅ τι τῶν τοιούτων περιέχεται ἐν τῷ πῶς ἔχοντι.

**39.** Ἀλλ' εἴποι τις ἂν συνώνυμον εἶναι τὸ ὄν. καὶ γὰρ ὁ λόγος καὶ τὸ ὄνομα φασὶν ἐφαρμόζει τοῖς οὖσιν. ἔστιν ἄρα ἕκαστον τῶν ὄντων ἢ ποιοῦν ἢ πάσχον ἢ ἀμφότερα, ὥστε εἰ καὶ ὀνόματος καὶ λόγου τοῦ αὐτοῦ μετέχει τὸ ὄν, πᾶν εἴη ἂν συνώνυμον.

---

2. *αὐτῶν* om. R., *εἰς ἓν γένος ἀφωρισμένη* S. — 9. *οὐδ' αὖ . . κινήσεις* om. S. — 10. *καὶ ποιήσεις* S. — 15. *εἰς ἐντελ.* post *δυνάμεως* S. — 17. *ἐστὶ* om. S. — 21. *ἔχων* S. — 25. *τοιούτων* om. S.

*Ἢ καὶ πρὸς τοῦτο ἀντειπεῖν ῥᾴδιον, ὅτι οὐχ οὗτος ὅρος ἐστὶ τοῦ ὄντος τὸ ἢ ποιεῖν αὐτὸ ἢ πάσχειν ἢ ἀμφότερα. περιλαμβάνει μὲν γὰρ τὰ δηλούμενα ὡς ὄντα αὕτη ἡ ἀπόδοσις τοῦ λόγου, τίνα δέ ἐστιν οὐ σημαίνει. ὡς γὰρ οὐκ ἔστι λόγος κυνὸς τὸ ζῷον χερσαῖον ἢ θαλάττιον ἢ οὐράνιον, ἀλλ' ὁ δηλῶν τὴν οὐσίαν αὐτοῦ, οὕτως οὐδὲ ὁ εἰρημένος λόγος ἂν εἴη τοῦ ὄντος, ἄλλως τε ὅτι οὐδὲ ἀληθεύεται οὗτος ὁ λόγος κατὰ τῶν εἰδῶν τοῦ ὄντος. χρὴ γὰρ τὸν ὅρον τοῦ γένους ἐφαρμόζειν καὶ τῷ εἴδει. ὥσπερ οὖν ὁ τοῦ ζώου λόγος ἐφαρμόζει καὶ τῷ ἀνθρώπῳ, οὕτως ἔδει καὶ τοῦτον τὸν λόγον ἐφαρμόζειν ἑκάστῳ τῶν εἰδῶν τοῦ ὄντος, οἷον κυνὶ ἢ ἀνθρώπῳ ἢ ἵππῳ, οὐδεὶς δὲ ὅρον ἀποδιδοὺς ἵππου φησὶν αὐτὸν ἢ ποιεῖν ἢ πάσχειν ἢ ἀμφότερα.*

**40.** *Ἀπορήσειε δ' ἄν τις τὸ ἔστι καθ' ἑκάστην τῶν κατηγοριῶν λεγόμενον πῶς χρὴ ἐκδέχεσθαι· ἤτοι γὰρ τὸ αὐτὸ σημαίνει τῷ καθ' οὗ κατηγορεῖται, ἢ ἕτερον. ἀλλ' εἰ μὲν τὸ αὐτό ἐστιν ἡ οὐσία καὶ τὸ ἔστι, περιττὸν τὸ κατηγορεῖν αὐτῆς τὸ ἔστι· δυνάμει γάρ ἐστι ἡ οὐσία οὐσία καὶ τὸ ποιὸν ποιόν, ἤ, εἰ μὴ ἀδολεσχοῦμεν κατηγοροῦντες αὐτῶν τὸ ἔστιν, ἕτερον αὐτῶν ἔσται τὸ ἔστιν. εἰ δὲ ἕτερον, καὶ καθ' ἕκαστον ἕτερον, ὥστε οὐ δέκα μόνον αἱ κατηγορίαι, ἀλλὰ καὶ ἄλλαι δέκα καθ' ἃς τὸ ἔστι περὶ ἑκάστης αὐτῶν λέγομεν, καὶ πάλιν, εἰ ἑκάστου τούτων ἄλλο τὸ ἔστι κατηγορήσομεν, ἐπ' ἄπειρον ἀναβησόμεθα. εἰ δὲ ἓν εἴη καὶ κοινὸν ἐπὶ πασῶν τὸ ἔστι κατηγορούμενον, καὶ ἐγκέκλιται τὸ ἔστι ἀπὸ τοῦ ὄντος, εἴη ἂν γένος τὸ ὄν.*

*Φανερὸν μὲν οὖν τὸ σόφισμα, κωλύει δὲ οὐδὲν ἀπαντῆσαι πρὸς τὴν τούτου λύσιν. τὸ γὰρ ἔστιν ὅταν κατηγορῶμεν ἐφ' ἑκάστου τὴν ὕπαρξιν προσκατηγοροῦντες αὐτοῦ τοῦτο λέγομεν· ἡ δὲ ὕπαρξις καὶ τὸ ὑπάρχειν τὸ ὑποκείμενον οὐ κεχωρισμένον τι δηλοῖ τοῦ ὑποκειμένου, ἀλλὰ καθέκαστον τῶν δέκα μαρτυρεῖ τῇ ὑποστάσει τὸ μὴ εἶναι ἀνυποστάτῳ αὐτῇ, ἀλλ' ὑφεστηκέναι. καὶ τὸ εἶναι οὖν ὁμώνυμον ἔσται, καὶ δεκαχῶς ῥηθήσεται ὁσαχῶς καὶ τὰ ὄντα.*

---

1. *ἐστὶν ὅρος* S. — 2. *ποιεῖν ἢ πάσχειν αὐτὸ ἓν ἀμφ.* S. — 11. *ἵππον* S. — 12. *τῶν κατηγοριῶν*] *κατηγορίαν* S. — 15. *ἔσται* S. — 22. *ἐγκέκλιται*] Sahunius, *ἐγκέκληται* libri. — 25. *ἡ*] *εἰ* R. — 28. *ὁμώνυμον* om. S.

## Κεφάλαια τοῦ δευτέρου βιβλίου.

α. *Πότερον διαίρεσίς ἐστιν ἢ καταρίθμησις εἰς τὰς κατηγορίας.*

β. *Πλωτίνου ἀπορία, ὅτι τὸ αὐτὸ οὐ σημαίνει ἡ οὐσία ἐπί τε τῶν πρώτων ὄντων καὶ ὑστέρων, οὐκ ὄντος γένους κοινοῦ ἐν οἷς τὸ πρῶτον καὶ ὕστερον.*

γ. *Ὅτι κατὰ τὰς Πλατωνικὰς ὑποθέσεις δύναται εἶναι αὕτη ἡ ἀπάντησις, κατὰ δὲ τὰς Ἀριστοτέλους χρὴ λῦσαι τὸ ἀπορούμενον.*

δ. *Πλωτίνου ἀπορία, εἰ τὰ αὐτά ἐστι γένη τῶν ὄντων ἔν τε τοῖς νοητοῖς καὶ τοῖς αἰσθητοῖς.*

ε. *Ἀπορία Πλωτίνου πρὸς Ἀριστοτέλην, τί κοινὸν ἐπὶ τῆς ὕλης καὶ τοῦ εἴδους καὶ τοῦ ἐξ ἀμφοῖν συνεωρακὼς πάντα οὐσίας εἶναι λέγει.*

ϛ. *Ἀπορία Πλωτίνου περὶ τῆς οὐσίας, τίς αὐτῆς ἡ πρώτη καὶ ἁπλουστάτη ἔννοια, καὶ πῶς ἔνεστιν αὐτὴν ἐξηγεῖσθαι.*

ζ. *Ἀπορία Πλωτίνου, διὰ τί ἡ οὐσία προτάττεται τῶν ἄλλων.*

η. *Ὅτι ὁ ἀποδοθεὶς περὶ αὐτῆς λόγος οὐ διδάσκει τί ἐστιν ἡ οὐσία.*

θ. *Ὅτι τὸ ἴδιον τῆς οὐσίας πᾶσιν ἐφαρμόζει.*

ι. *Πῶς νῦν μὲν προτάττει τὴν οὐσίαν τὴν αἰσθητὴν τῶν ἄλλων καὶ πρώτην λέγει, ἀλλαχοῦ δὲ μετὰ τὴν ἀσώματον αὐτὴν λέγει;*

---

1. *βιβλίου*] *λόγου* S. — 2. *ἐν ταῖς κατηγορίαις* S. — 4. *ὑστέρου* R. — 5. *πρότερον καὶ τὸ* S. — 6. *ἡ* om. R. *αὕτη ἡ ἀπάντησις εἶναι* S. — 12. *ἑωρακὼς* S. — *εἶναι* om. S. — 15. *πῶς*] *ποῦ* R. — 16. *πλωτίνου ἀπορία* S., *προτέτακται* S. — 17. *περὶ*] *ὑπὲρ* S. — 21. *αὐτὴν λέγει*] *ταύτην ἄγει* R., num *τάττει*?

ια. Ὅτι δοκεῖ ὑπεναντία λέγειν ἑαυτῷ ἐν μὲν τοῖς Φυσικοῖς τὰ κοινὰ προτάττων καὶ πρῶτα, ἐνταῦθα δὲ τὰ καθέκαστα.

ιβ. Περὶ τῶν κοινῶν πρὸς Ἀλέξανδρον ἀντιλογία.

ιγ. Ὅτι πρῶτον ἔδει τὴν αἰτίαν εἰπεῖν, δι' ἣν δεύτεραι λέγονται οὐσίαι.

ιδ. Ὅτι μὴ δείξας τὴν πρώτην οὐσίαν μὴ οὖσαν μᾶλλον καὶ ἧττον τὰ εἴδη μᾶλλον καὶ ἧττον λέγει.

ιε. Εἰ οὐδεμία οὐσία μᾶλλον καὶ ἧττον, πῶς τὸ εἶδος τοῦ γένους μᾶλλον οὐσία.

ις. Ὅτι εἰ τὸ αἴτιον τῆς αἰσθητῆς οὐσίας λαμβάνει, τὴν ἧττον οὐσίαν λαμβάνει.

ιζ. Ὅτι τὴν γενικὴν οὐσίαν οὐχ ὡρίσατο.

ιη. Ὅτι οὐ διῄρηκε τὰς οὐσίας.

ιθ. Ὅτι τὸ φανερὸν δὲ ἐκ τῶν εἰρημένων οὐκ ἔχει δῆλον ποίων εἰρημένων.

κ. Ὅτι χρήσιμος ἡ περὶ τῶν διαφορῶν θεωρία.

κα. Ἀπορία περὶ τῆς διαφορᾶς ποῦ αὐτὴν χρὴ τάττειν.

κβ. Ἀπορία περὶ τοῦ μὴ λέγεσθαι τὰς διαφορὰς καθ' ὑποκειμένου.

κγ. Πῶς εἰπὼν δοκεῖ πάσῃ οὐσίᾳ ὑπάρχειν τὸ τόδε τι λέγεσθαι ἐπήγαγεν ἑξῆς οὐ μὴν ἀληθές γε ἐστὶ τοῦτο;

κδ. Εἰ μηδέν ἐστι τῇ οὐσίᾳ ἐναντίον, πῶς τὸ λογικὸν ζῶον τῷ ἀλόγῳ ἐναντίον ἐστί;

κε. Πῶς, εἰ μηδέν ἐστι τῇ οὐσίᾳ ἐναντίον, τὸ πῦρ τῷ ὕδατι καὶ τὰ ἄλλα στοιχεῖα ἐναντία λέγει Ἀριστοτέλης;

κς. Ὅτι δύναται ὁ ἄνθρωπος τῷ ἵππῳ εἶναι ἐναντίον, ἢ ὁ τὶς ἄνθρωπος τῷ τινὶ ἀνθρώπῳ.

---

1. αὐτῷ S. — 2. προστάττων R. — 4. πρῶτος S. — 6. τὴν om. S. — 8. τὸ τοῦ εἴδους γένος S. — 13. οὐ om. R. — 14. δὲ om. S. — 17. αὐτῶν R. — 19. τὸ om. S. — 20. ἐφεξῆς S., τοῦτό ἐστι S. — 21. πῶς] περὶ S. — 23. πῶς post ἐναντίον S. — 24. ὁ Ἀρ. S.

*κζ. Πῶς εἰ μηδέν ἐστι τῇ οὐσίᾳ ἐναντίον, τὸ εἶδος τῇ στερήσει λέγει ἐναντίον ἐν τοῖς Φυσικοῖς καὶ τὴν ὕλην τῷ εἴδει;*

*κη. Ὅτι τὸ μηδὲν τῇ οὐσίᾳ ἐναντίον ἐπὶ μὲν τῶν καθέκαστα δέδεικται, ἐπὶ δὲ τῶν καθόλου οὔ.*

*κθ. Πῶς προειπὼν τὸ εἶδος μᾶλλον οὐσίαν τοῦ γένους νῦν φησὶν οὐκ ἐπιδέχεσθαι τὴν οὐσίαν τὸ μᾶλλον καὶ τὸ ἧττον;*

*λ. Ὅτι ὁ μᾶλλον λογικὸς μᾶλλόν ἐστιν ἄνθρωπος.*

*λα. Πῶς ἡ ὕλη μᾶλλον καὶ ἧττον λέγεται;*

*λβ. Τίς ἡ αἰτία τοῦ τὴν μὲν οὐσίαν μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, τὰς δὲ ποιότητας ἐπιδέχεσθαι;*

*λγ. Διὰ τί προσέθηκε τὸ δοκεῖ τὸ ἴδιον τῆς οὐσίας ἀποδιδούς;*

*λδ. Διὰ τί προσέθηκε τὸ τῷ ἀριθμῷ τῷ τῆς οὐσίας ἰδίῳ;*

*[Διὰ τί προσέθηκε τὸ τῷ ἀριθμῷ τῷ τῆς οὐσίας εἴδει;]*

*λε. Ὅτι βουλόμενοι κατασκευάσαι πάσῃ τῇ οὐσίᾳ ὑπάρχον τὸ τῶν ἐναντίων ἀνὰ μέρος, αὐτὴν δὲ δεκτικήν, λανθάνομεν κατασκευάζοντες ἕτερον χεῖρον τὸ μὴ μόνῃ αὐτῇ ὑπάρχειν.*

*λϛ. Ὅτι ὁ πατὴρ δέχεται τὰ ἐναντία οὐσία ὤν· νοσεῖ γὰρ καὶ ὑγιαίνει.*

*λζ. Ὅτι ἐπὶ τῶν ἀϊδίων οὐσιῶν οὐχ ἁρμόζει τοῦτο τὸ ἴδιον.*

*λη. Εἰ ὥσπερ τὸ γένος καὶ τὸ εἶδος αὐτὸ καθ᾽ αὑτὸ οὐκ ἐπιδέχεται ἐναντία, οὕτως οὐδὲ αἱ ἕξεις καὶ διαθέσεις ἀλλὰ τὰ ὑπ᾽ αὐτὰ αἰσθητά, οὐκ ἂν εἴη ἴδιον τῆς οὐσίας τὸ τῶν ἐναντίων ἀνὰ μέρος εἶναι δεκτικόν. ὅπερ γὰρ ἐπὶ τῆς ἕξεως καὶ διαθέσεως τῆς γενικῆς, τοῦτο καὶ ἐπὶ τῶν γενικῶν οὐσιῶν θεωρεῖται, καὶ*

---

1. **πῶς** post **ἐναντίον** S., **τῇ** ante **στερήσει** om. R. — 3. **ὅτι** om. S., **τῇ**] **οὐ τῇ** R. — 4. **ἐπὶ δὲ τῶν καθόλου οὔ**] **ἐπὶ δὲ τῆς οὐσίας οὐ δέδεικται** rc. R. — 9. **τοῦ** om. S. — 10. **δέχεσθαι** S. — 11. **ἴδιον**] **ῥᾴδιον** S. — 12. **τὸ** om. S., **τῷ ἀριθμῷ**] fort. **ἓν ἀριθμῷ**. — 13. versus delendus. — 14. **βουλόμενοι**] **ἑλόμενοι** S. — 15. **αὐτῇ δεκτικὸν** S. — 16. **μόνον** R. — 17. **τὸ ἐναντίον** S. — 19. **ὅτι** om. S. — 20. **οὐκ** om. S. — 21. **ἐναντίον** S. — 22. **ἴδιον** om. S., **ἀνὰ** om. S.

οὕτως κοινὸν ἔσται καὶ πρὸς ἄλλα τὸ μὴ εἶναι τῶν ἐναντίων ἀνὰ μέρος δεκτικά.

λθ. Πλωτίνου ἀπορία, ὅτι τὸ εἶναι τῶν ἐναντίων ἀνὰ μέρος δεκτικὸν ὡς συμβεβηκὸς τῇ οὐσίᾳ ὑπάρχει.

μ. Πλωτίνου ἀπορία, ὅτι εἰ κατὰ τὸ σύνθετον θεωροῦμεν τὴν οὐσίαν, εὑρίσκεται ἡ ὕλη μᾶλλον οὐσία.

μα. Ὅτι οὐ μόνον τῆς οὐσίας ἴδιον τοῦτο, ἀλλὰ καὶ τοῦ λόγου καὶ τῆς δόξης.

μβ. Ἀπορία Πλωτίνου, ὅτι αὐτὴν τὴν οὐσίαν τίς ἐστιν οὐ παρίστησι τὸ λεγόμενον αὐτῆς ἴδιον.

---

3. ὅτι om. S., τὴν οὐσίαν θεωροῦμεν S.

## Δεξίππου φιλοσόφου Πλατωνικοῦ τῶν εἰς τὰς Ἀριστοτέλους κατηγορίας ἀποριῶν τε καὶ λύσεων τὸ δεύτερον.

1. *Μέχρι μὲν τούτων, ὦ φιλομαθέστατε Σέλευκε, τὰ μέν τινα τοῖς παλαιοῖς ἀνδράσι ἠπορημένα προβέβληκας, τὰ δὲ καὶ αὐτὸς ἐξεύρηκας· τὸ δὲ ἐντεῦθεν ἐπ' αὐτὰ μέλλω ἔρχεσθαι τὰ γένη τῶν κατηγοριῶν. πότερον χωρίσαι βούλει τὰς ἀπορίας τοῦ Πλωτίνου καὶ τελευταίας τάξαι, ἢ κατὰ τὴν ἐφεξῆς τῶν ἐδαφίων ἀκολουθίαν κἀκείνας παρατιθέναι;*

*Ἀλλ' ἔμοιγε δοκεῖ μηδαμῶς τὴν συνέχειαν διακόπτειν, ἀλλ' ἐφεξῆς ἐξετάζειν τὰ συμπίπτοντα. μέλλων τοιγαροῦν ἀπὸ τῆς οὐσίας ἄρχεσθαι περὶ τῶν κατειλεγμένων τούτων κατηγοριῶν πρῶτον ἐρωτῶ, πότερον ὡς διῃρημένων αὐτῶν ἢ ὡς ἀριθμουμένων διανοῇ;*

*Διῃρῆσθαι μὲν αὐτὰς οὐ νομιστέον· οὐδὲ γάρ ἐστι τομὴ γένους εἰς εἴδη. οὔτε γάρ ἐστί τι κοινὸν γένος τῶν δέκα κατηγοριῶν, ὁποῖον εἰσάγουσί τινες, τὸ ὂν ἢ τὸ τί, οὔτε μὴ ὄντος τοῦ διῃρημένου γένους εἴη ἂν τὰ διαιροῦντα. εἰ δὲ μήτε γένος κοινὸν ἐπὶ τῶν ἀνωτάτω γενῶν οἷόν τέ ἐστι λαβεῖν, μήτε τὰς διαιρετικὰς διαφοράς, οὐκ ἔστι διαίρεσιν καλεῖν τὴν τοιαύτην ἀπαρίθμησιν.*

*Ἆρ' οὖν τοῖς ἐπὶ στρατιᾶς ἔοικεν ἡ διαίρεσις, οἷον τοῖς κατὰ λόχους συντεταγμένοις; καὶ γὰρ ἐκεῖ ἑκάστου λόχου ἕκαστος λοχαγὸς*

---

2. τὸ δεύτερον] Sahunius, β. R., λόγος δεύτερος S. — 6. πρότερον S., χωρῆσαι R. — 8. περιτιθέναι S. — 10. ἀπὸ om. S. — 11. περὶ] ἀπὸ S. — 12. διαιρουμένων S. — 13. οὐδὲ] imo οὔτε. — 14. οὔτε] fort. οὐ. — τὸ μὴ R. — δέκα] δὲ S. — 16. κοινὸν γένος S., ἀνωτάτων R. — 19. στρατείας S.

ἐξηγεῖται, καὶ ἐνταῦθα ἡ μὲν οὐσία τῶν οὐσιῶν, αἱ δ' ἄλλαι κατηγορίαι τῶν ὑφ' ἑαυτὰς τὸ κῦρος τῆς ἡγεμονίας προειλήφασιν;

Ἀλλ' ἐὰν τοῦτο λέγωμεν, διεσπαρμένον τι πλῆθος ἔσται τὸ τῶν ὄντων, καὶ ἐοικὸς τοῖς ἐκ διεστηκότων φυλῶν καὶ φρατριῶν συναγομένοις εἰς ἓν δήμοις. τοῦτο δὲ τὴν συνέχειαν καὶ ἀλληλουχίαν ἀναιρεῖ τῆς διακοσμήσεως. βέλτιον οὖν ἀφορίζεσθαι μὲν τὰ γένη κατά τινας πρώτας ἰδιότητας τῶν κατηγοριῶν, καὶ περιγράφειν αὐτῶν τῆς ὑποστάσεως τὸν λόγον ἑκάστης καθ' ἑαυτήν, καὶ ταύτῃ διεστάναι αὐτὰς χωρίς. πάλιν γε μὴν καθόσον περὶ τὴν οὐσίαν εἰσὶ τὰ συμβεβηκότα καὶ ἐν τῇ οὐσίᾳ καὶ συντάττεται πρὸς αὐτὴν ὁμολογουμένως, κατὰ τοσοῦτον ἀφομοιωτέον αὐτὰ τοῖς ἀφ' ἑνὸς καὶ περὶ ἓν συνταττομένοις.

Τί οὖν, μερισμῷ προσέοικεν ὡς ὅλου;

Οὐδαμῶς. οὐ γὰρ περιγράφει τὸ τοῦ οἱονεὶ συγκρίματος σύστημα κατά τινα ἴδια μέρη, ἀλλὰ ἀναλύει ἐπὶ τὰ ἁπλούστερα καὶ στοιχειώδη ταῖς διαλήψεσι τῶν ἐπινοιῶν στοιχειωδεστέραις ἀεὶ χρωμένη, τάξιν μέντοι διασώζει τὴν πρὸς ἓν καὶ ἓν καὶ ἀφ' ἑνός, ὥσπερ καὶ ἐν τοῖς οὖσιν ἡ οὐσία τὴν πρώτην καὶ κυριωτάτην τάξιν εἴληφε, περὶ δὲ αὐτὴν τὰ συμβεβηκότα ὑφέστηκε.

Περὶ μὲν δὴ τούτων οὕτως· ἃ δὲ πρῶτον ἀπορεῖ Πλωτῖνος,
2. ἐπισκεψώμεθα. ἀπορεῖ γὰρ διττῆς οὐσίας ὑπαρχούσης νοητῆς τε καὶ αἰσθητῆς πῶς γένος δύναιτ' ἂν γενέσθαι τὸ αὐτό; τί γὰρ κοινὸν ἐν ἀμφοτέροις τούτοις ἐν τῷ εἶναι ὑπάρχει; εἰ δὲ καὶ ἔστιν, ἔσται πρότερον ἄλλο τούτων ὅπερ οὔτε σῶμά ἐστιν οὔτ' ἀσώματον. ἔσται γὰρ ἢ τὸ ἀσώματον σῶμα, ἢ τὸ σῶμα ἀσώματον.

Ἔστι μὲν οὖν πρὸς ταῦτα ῥᾴδιον ἀντειπεῖν, ὅτι παρὰ τὴν πρό-

---

1. ἐνταῦθα om. S. — 3. διεσπασμένον S. — 5. εἰς ἓν δήμοις] ἐνδήμοις S. — 7. ἰδιότητος S. — 8. ἑκάστης τὸν λόγον S. — διιστάναι? — 10. οὐσίᾳ] οὐσίᾳ ὑφίσταται Simplicius. — 14. παραγράφει R. — 16. ἀποδιαλήψεσι R. — 18. εἴληφε τάξιν S. — 21. σκεψώμεθα S. — 24. τούτων ἄλλο S. — 24. γὰρ om. S.

θεσιν τὰ ἀπορήματα ταῦτα προσάγεται. οὔτε γὰρ περὶ τῶν ὄντων, οὔτε περὶ τῶν γενῶν τῆς πρώτης οὐσίας νῦν αὐτῷ πρόκειται λέγειν. στοχάζεται γὰρ τῶν νέων τοῖς ἁπλουστέροις ἐπακολουθεῖν δυναμένων. ὥστ' ἐπεὶ περὶ λέξεών ἐστιν αὐτῷ νῦν ἡ σπουδή, αἷς τὸ κατ' οὐσιῶν λέγεσθαι ὑπάρχει, μάτην ἐν τῇ περὶ τούτων σκέψει ἐπεισάγει τὰς περὶ τῶν ὄντων ζητήσεις ὁ Πλωτῖνος· οὐ μὴν ἔμοιγε δοκεῖ διακρούεσθαι οὑτωσὶ τὴν πρὸς τὸ παρὸν εὖ τιθεμένην μόνον τοῦ λόγου διέξοδον, ἀλλ' ἀπ' αὐτῆς ἄρχεσθαι τῆς Πλωτίνου φιλοσοφίας, καὶ πρὸς τὴν ὅλην αὐτοῦ θεωρίαν ἀναφέρειν καὶ τὴν τῶν παρόντων λόγων διέξοδον. ἓν γὰρ δὴ γένος τὴν οὐσίαν ἐν τοῖς νοητοῖς οὗτος τίθεται, ὡς κοινῇ τὸ εἶναι παρέχουσαν τοῖς ἀσωμάτοις εἴδεσι, καὶ ὡς τοῖς αἰσθητοῖς ἅπασι καὶ τοῖς ἐνύλοις εἴδεσι τὸ εἶναι ἐνδιδοῦσαν. εἰ δὲ τοῦτο οὕτως ἔχει, καὶ διατείνει δι' ὅλων ἡ τῆς οὐσίας ἀρχὴ ἡ αὐτή, τάξιν ἔχουσα πρώτην καὶ δευτέραν καὶ τρίτην, καθ' ἃς τοῖς μὲν πρώτως, τοῖς δὲ ἄλλον τρόπον παρέχει τὸ εἶναι, ὥστε εἰ πάντα ἀνήκει εἰς αὐτὴν ὡς ἀπ' αὐτῆς ἠρτημένα, δύναται ἡ ταύτης ὑπογραφὴ ἐμφαίνειν καὶ τὴν πρώτην ἀρχήν, ἀφ' ἧς εἰς τὴν ἐσχάτην ὕφεσιν αὕτη πέπτωκεν.

3. Ἀλλ' εἰ ταύταις ὑποθέσεσιν Ἀριστοτέλης ἐχρῆτο, αἷς καὶ Πλωτῖνος, εἶχεν ἄν τινα δοκοῦντα τὰ εἰρημένα λόγον· νῦν δὲ τὰ ἐκείνῳ δοκοῦντα ὡς ὁμολογούμενα προσλαβὼν διαγωνίζει ὑπὲρ Ἀριστοτέλους.

Οὐκοῦν πρὸς ταύτην τὴν ζήτησιν τοῖς εἰρημένοις ἐν τῇ μετὰ τὰ Φυσικὰ πραγματείᾳ χρήσομαι. εἰσὶ γὰρ δύο οὐσίαι κατ' Ἀριστοτέλην αὗται, ἡ νοητὴ καὶ αἰσθητή, καὶ μέση τούτων ἡ φυσική· αἰσθητὴ μὲν ἡ σύνθετος, φυσικὴ δὲ ἡ κατὰ τὸ εἶδος καὶ τὴν ὕλην, ἡ δὲ τούτων ἀνωτέρω ἡ νοερὰ καὶ ἀσώματος, ἣν ἀκίνητον μὲν κινητικὴν δὲ καλεῖ πολλάκις, ὡς τῆς εἰδοποιουμένης κατὰ τὴν ζωὴν κινήσεως αἰτίαν οὖσαν. ταῦτα γὰρ περὶ τούτων τῶν οὐσιῶν Ἀριστοτέλης ἀποδείκνυσιν ἐν τῷ

---

4. ἐστιν post νῦν S. — 7. τιθεμένῳ? — διέξοδον τοῦ λόγου S. — 13. τάξις libri. — 14. πρώτων καὶ δευτέρων καὶ τρίτων S. — 17. πρώτην] ταύτης S. — 20. προλαβὼν S. — 22. δύο] τρεῖς Arist. Met. Λ, 1. p. 1069, 30. 1071, 6. b. — 23. καὶ] καὶ ἡ S. — 25. ἀνωτέρα S. — 27. τῷ om. S.

λ̄ τῶν μετὰ τὰ Φυσικά, καὶ τούτῳ συνείληφε τὰς πολλὰς οὐσίας εἰς τὴν ὅλην οὐσίαν. ὑπέθηκε δὲ αὐτὰς ὁμοῦ πρὸς μίαν σύνταξιν, καὶ πρὸς μίαν ἀρχὴν ἀνήγαγε. κομιδῇ γὰρ ἄλλο γέ τι τοῦ ἑνὸς μεθέξει, εἰ αὐτὴ ἡ οὐσία ἢ τὸ εἶναι ἐν τῷ ἑνὶ ἔχουσα ἀποστερηθήσεται τῆς πρὸς τὸ ἓν ἀναγομένης συντελείας. ἀῤῥήτων τοίνυν ὄντων τῶν νοητῶν κατὰ μεταφορὰν καὶ ἀναλογίαν ἀπὸ τῶν κατ' αἴσθησιν γνωρίμων χρῆται τῷ τῆς οὐσίας ὀνόματι. τριχῶς γὰρ τοῦ αὐτοῦ ὀνόματος πάντα μετέχει, ἢ ὁμωνύμως, ἢ συνωνύμως, ἢ τοῦ μὲν κυρίως τοῦ δὲ κατὰ μεταφοράν, καὶ ὁμωνύμως μέν, ὡς ὁ πούς τοῦ ὀργάνου πρὸς τοὺς ἄλλους τῶν ὀργάνων πόδας· συνωνύμως δέ, ὡς μάχαιρα μαχαίρας ὀξυτέρα, λέγεται καὶ φωνὴ φωνῆς, μάχαιρα δὲ φωνῆς ὀξυτέρα οὐ λέγεται, ἐπειδὴ ἄλλο τὸ ὀξὺ ἐν ἑκατέρᾳ· κυρίως δὲ καὶ κατὰ μεταφοράν, ὡς ἐπὶ τοῦ ποδὸς τοῦ τε ἡμετέρου καὶ τῶν ὀρῶν· ἀῤῥήτων οὖν ὄντων ὥςπερ μεταφορᾷ κέχρηται τῷ τῆς οὐσίας ὀνόματι, ἀπὸ τῶν αἰσθητῶν καὶ τῶν κατειλημμένων ἡμῖν τὰ ἀκατάληπτα γνωρίζων. ὡς μὲν γὰρ πρὸς τὴν νοητήν, ἔσται ὁμώνυμος αὕτη τῇ ἀναλογίᾳ μόνη τὴν ἔμφασιν αὐτῆς παρέχουσα, ὡς δὲ πρὸς τὴν φυσικήν, συνώνυμον τῷ ἑαυτῆς συνθέτῳ ἐκείνην ἐμφαίνουσα. ὥσπερ γὰρ ἐν τοῖς μετὰ τὰ Φυσικὰ σῶμα ἀσώματόν τινα λέγει οὐσίαν, διότι μὲν ἀπὸ τῆς νοερᾶς προελήλυθεν, ἀσώματον αὐτὴν ὀνομάζων, διότι δὲ εἰς αἰσθητὴν ἤδη κεκίνηται, τὸ σῶμα εἶναι αὐτῇ προσμαρτυρῶν, οὕτω καὶ ταύτην τὴν οὐσίαν πρὸς μὲν τὴν φυσικὴν συνώνυμον, πρὸς δὲ τὴν νοητὴν ὁμώνυμον λέγων διὰ ταύτης κἀκείνας διδάσκει, καὶ μάλισθ' ὅτι ἡ περὶ αὐτῆς ὑπογραφὴ τὸ μήτε καθ' ὑποκειμένου μήτε ἐν ὑποκειμένῳ δύναται κἀκείνας ἐφαρμόσαι. ἐγὼ μὲν οὖν ὦ καλὲ κἀγαθὲ Σέλευκε δογματικώτερον πρὸς Πλωτῖνον ἀπαντῶ, σὺ δὲ ἐπεὶ βαθύτεραί πως εἰσὶν αἱ λύσεις αὗται, πρὸς μὲν τοὺς ἐκ φιλοσοφίας ὁρμωμένους ταῖς τοιαύταις ἀπαντήσεσι χρῶ, πρὸς δὲ τοὺς ὀλίγα ἐπισταμένους τῶν δογμάτων ταῖς προχείροις χρῶ διαλύσεσιν, ἐκεῖνο λέγων, ὅτι περὶ πόδα ποιεῖσθαι

14. μεταφορὰ S. — 17. συνώνυμον om. S. — 19. σῶμα om. S. — 20. ἀσώματον om. S. — 25. κακείνως S. — 27. τοῖς . . ὁρμωμένοις R.

ἔθος τὰς ἀκροάσεις Ἀριστοτέλει. διὸ καὶ νῦν οὐδὲν ἔξωθεν ἐπεισάγει τῶν ἀνωτέρω κειμένων φιλοσοφημάτων, ἀλλ' ὡς ὁμωνύμῳ χρῆται τῇ οὐσίᾳ προηγούμενον μὲν ἔχων τὸν σκοπὸν περὶ τῶν λέξεων, κατὰ συμβεβηκὸς δὲ καὶ ταῦτα καὶ τὰ ὑπ' αὐτῶν σημαινόμενα πράγματα συνεκδιδάσκων, ὥστ' οὐ χρὴ τὰς περιττὰς περὶ τούτων ἐπεισάγειν ζητήσεις.

4. Τοῖς αὐτοῖς οὖν χρησόμεθα λόγοις καὶ ὅταν ἀπορῇ Πλωτῖνος, πότερον τὰ αὐτά ἐστι γένη τῶν κατηγοριῶν ἐπὶ τῶν πρώτων ὄντων καὶ ἐπὶ τῶν ὑστέρων, ἢ ἐν μὲν τοῖς νοητοῖς πλείω, ἐν δὲ τοῖς αἰσθητοῖς ἐλάττω, ἢ ἀνάπαλιν.

Ὅμοιον μὲν ὦ Σέλευκε, τὸ ἀπόρημα τῷ περὶ τῆς οὐσίας, ὥστε καὶ τὴν λύσιν ἀπὸ τῆς προθέσεως τῶν κατηγοριῶν ἀπολογίζου. γένοιτο δ' ἂν καὶ ἑτέρα διάλυσις ἑπομένη τῇ δόξῃ, ἣν ἐν τῇ μετὰ τὰ Φυσικὰ Ἀριστοτέλης ἐκτέθειται. δέκα γὰρ ὄντων τῶν ὅλων γενῶν ἐν μὲν τοῖς συνθέτοις πάντα εἶναι ἀποφαίνεται, οὐχ ἥκιστα καὶ ἐν αὐτῷ τούτῳ τὴν σύνθεσιν παρεχομένοις τῷ καὶ ἐν τοῖς κατὰ μέρος ἅπαντα ἐνεῖναι· προσθήκη γὰρ καὶ πλεονασμὸς ἐν τοῖς σώμασι ἀεὶ συνεμφαίνεται, ὥστ' ἐν μὲν τοῖς αἰσθητοῖς εἰσὶν αἱ δέκα κατηγορίαι, διόπερ δὴ καὶ ἐν τῷ Σωκράτει ταύτας ἄν τις δείξειεν, ἐπὶ μέντοι τῶν νοητῶν οὐ πάντα ὑπάρχει, ἀλλὰ τὰ τοῖς ἁπλουστάτοις καὶ τελειοτάτοις προσήκοντα γένη, καὶ οὐκ ἔσται διὰ τοῦτο ἐλλείπουσα ἡ διαίρεσις τῶν γενῶν. οὐ γὰρ εἰ μὴ πάντ' ἐστὶν ἐκεῖ, ἀτελῶς ἔχει τὰ ὧδε διῃρημένα γένη, ἀλλ' ἐπείπερ καὶ ἐν τοῖς νοητοῖς τὰ πεφυκότα ὑπάρχει καὶ ἐν τοῖς αἰσθητοῖς, πλείονα διὰ τὴν σύνθετον οὐσίαν φαίνεται. διὰ τοῦτο οὐκ ἔστιν ὁ καθόλου τῶν κατηγοριῶν λόγος ἐνδεής.

5. Πάλιν τοίνυν ὁ Πλωτῖνος τοιαῦτα προσαπορεῖ· ὡς τριχῶς λεγομένης τῆς οὐσίας καὶ ἄλλης ἄλλως, τίνα ὑποβάλλει τῇ νῦν κατηγορίᾳ, πότερον τὴν ὕλην ἢ τὸ εἶδος ἢ τὴν ἐξ ἀμφοῖν σύνθετον; ἅπασαι γὰρ

---

8. πότερον ἔστι τὰ γένη S. — πρώτων] scrib. πρώτως. — 13. ἐν τῇ om. R. — 17. ἀεὶ ante ἐν S. — 21. ἐλλείπουσα post ἡ διαίρεσις S. — γενῶν om. R. — 27. νυνὶ S.

*οὐ δύνανται ὑποτάττεσθαι τοῖς παροῦσι λόγοις· οὐ γὰρ μία οὐδὲ καθ' ἓν αἱ πᾶσαι λέγονται, ὥστε ἣν ἂν ὑποτάξῃ τις, τὰς ἄλλας ἐξ ἀνάγκης παραλείψει.*

*Ἀλλὰ ὁ τὴν μίαν εἰπὼν καὶ σύνθετον περιέλαβεν ἐν αὐτῇ καὶ τὰς ὡς μέρη περιεχομένας. καθόλου γὰρ μεθ' οὗ τι συναπαρτίζει, οὐκ ἂν εἴη τούτων θάτερον ἐν θατέρῳ, ὥστε κοινωνεῖ μὲν τὰ τρία, τὸ εἶδος λέγω καὶ ἡ ὕλη καὶ τὸ συναμφότερον, κατὰ τὸ μὴ εἶναι ἑτέρου ἀλλ' ἑαυτῶν, καὶ κατὰ τὸ μὴ εἶναι ἐν ὑποκειμένῳ. οὐσίαι δέ εἰσιν αἱ τρεῖς ἀπὸ τῆς μιᾶς τῆς συνθέτου πᾶσαι σημαινόμεναι.*

*Ἀλλὰ δὴ πάλιν ἀπορεῖ Πλωτῖνος οὐκ εἶναι ῥᾴδιον λέγων αὐτὴν*
**6.** *τὴν οὐσίαν εἰπεῖν τίς ἐστιν.*

*Ἀλλ' εἰ βούλει τὴν ἔννοιαν αὐτῆς ἀνευρεῖν, πρόλαβε πρότερον τὴν διὰ τῶν ὀνομάτων διδασκαλίαν· διότι τὰ συγκεχυμένα καὶ ὅλα πρῶτα ἦν εἰς ἐπιβολήν, δεύτερα δὲ τοῦ λόγου καὶ διαρθρώσεως πλείονος δεόμενα, ταῦτα δὴ νυνὶ προστίθησι, τὸ μήτε καθ' ὑποκειμένου τινὸς λέγεσθαι μήτε ἐν ὑποκειμένῳ εἶναι ἀποδιδοὺς τῇ οὐσίᾳ ὡς ἰδιότητα. τὸ μὲν οὖν μὴ ἐν ὑποκειμένῳ αὐτὴν εἶναι πρόδηλον. αὕτη γὰρ ὑπόκειται τοῖς ἄλλοις, καὶ ἄνευ αὐτῆς τὰ ἄλλα τὸ εἶναι οὐκ ἔχει, τὸ δὲ μὴ καθ' ὑποκειμένου λέγεσθαι οἰκειότατόν ἐστι τῇ ἀτόμῳ οὐσίᾳ. διὰ γὰρ τὸ εἶναι ἀδιαίρετος εἰς εἴδη κατ' οὐδενὸς ὑποκειμένου λέγεται, καθ' ὑποκειμένου δὲ αὐτῆς αἱ δεύτεραι οὐσίαι κατηγοροῦνται. ἡ οὖν καὶ ταῖς οὐσίαις ὑποκειμένη προηγουμένως ἂν εἴη καὶ κυρίως οὐσία, ἐπεὶ μὴ οὐσῶν τούτων οὐδὲν τῶν ἄλλων δύναταί τι εἶναι. τριχῶς δὲ τῆς οὐσίας λεγομένης, ὥσπερ εἰρήκαμεν, νῦν τῆς συνθέτου μνημονεύει, ὕστερον δὲ καὶ περὶ τῶν ὑπολοίπων δύο ποιήσεται λόγον, ὅταν τὰ μέρη τῆς οὐσίας αὐτὰ εἶναι λέγῃ.*

*Ἄξιον δέ φησιν ὁ Πλωτῖνος ἐπιστῆσαι πρῶτον, διὰ τί ἡ οὐσία προτάττεται τῶν κατηγοριῶν.*

---

6. **τούτων** om. S. — 7. **τὸ**] **τοῦτο** R. — 12. **εἰπεῖν** ante **αὐτὴν** S. — 14. **διαθρώσεως** S. — **πλείονος**] Sahunius, **πλείονα** libri. — 15. **δεόμενα** om. R. — 22. **ἂν** om. S. — **οὐσία καὶ κυρίως** S. — 26. **λέγῃ εἶναι** S.

Δύο δὴ αἰτίας εὕροι τις ἂν τοῦ πρώτην εἶναι τὴν οὐσίαν, μίαν μὲν διότι ὑπόκειται πᾶσι μόνη· ἄν τε γὰρ τὴν ὕλην λάβῃς, ὑπόκειται τοῖς εἴδεσιν· ἄν τε τὸ εἶδος, ὑπόκειται τοῖς συμβεβηκόσι, πανταχοῦ δὲ οἷον ὑποβάθρα πρῶτον. ἄλλην δὲ αἰτίαν ἀποδίδομεν, ὅτι αὐτὴ μὲν καθ' ἑαυτὴν ὑφίστασθαι ἐπινοεῖται, τὰ δὲ ἄλλα ἐπὶ ταύτης, ἢ οὐκ ἄνευ ταύτης, πρότερον δὲ τὸ καθ' ἑαυτὸ ἐξ ἀρχῆς τοῦ μετ' ἐκείνου καὶ οὐκ ἄνευ ἐκείνου, οὕτω καὶ μονὰς δυάδος προτέρα, ὅτι μονὰς καὶ ἄνευ δυάδος, δυὰς δὲ πάντως μετὰ μονάδος.

8. Ἀλλὰ μὴν κἀκεῖνο ἄξιον ἀπορῆσαι, ὡς οὐ διδάσκει, τί ἐστιν ἡ οὐσία, ἀλλὰ ποῦ, καὶ ὅτι ποιεῖ τὰ ἄλλα γιγνώσκειν ἥδε, ἑαυτὴν δὲ οὔ, ἐπεὶ καὶ εἴ τις τὸν ἄνθρωπον ἀποδιδοὺς μήτε ἵππον εἴποι, μήτε κύνα, ὅ τι μὲν οὐκ ἔστιν εἴρηκεν, ὃ δέ ἐστιν οὐδὲν μᾶλλον ἀφώρισατο διὰ τῆς ἀποφάσεως, ἢ ὅτε ἐξ ἀρχῆς ἀόριστος ἦν ὁ ἄνθρωπος; ἐπεὶ οὐδ' ἂν τὸ ἴδιον εἴπῃ τις, ἤδη ἐγνώκαμεν τί ἐστιν, οἷον τὸν ἄνθρωπον γελαστικόν.

Ἀλλὰ πρὸς ταῦτα λεκτέον, ὅτι οὐκ ἔστιν ὅρος ὁ προκείμενος, ἀλλ' ὑπογραφή, καὶ ὅτι πολλοὶ ὅροι κατὰ ἀπόφασιν λέγονται, ὅταν γνώριμα ᾖ τὰ καταφασκόμενα· οὕτως γοῦν γνωρίμου γενομένου τοῦ ἀγαθοῦ καὶ κακοῦ τὸ ἀδιάφορον ὁρίζονταί τινες, ὃ μήτε ἀγαθόν ἐστι μήτε κακόν. καὶ ἐνταῦθα δὴ οὖν διὰ τοῦτο προεῖπε περὶ τοῦ ἐν ὑποκειμένῳ καὶ καθ' ὑποκειμένου, ἵνα διὰ τῆς ἀποφάσεως αὐτῶν τὴν κυριωτάτην οὐσίαν δηλώσῃ, καὶ οὐκ ἠρκέσθη μόνῃ ἀποφάσει, ἀλλὰ καὶ παράδειγμα προσέθηκεν, ὥσπερ εἴ τις λέγων εἶναι τὸν ἄνθρωπον μήθ' ἵππον μήτε βοῦν προσθείη ἐφεξῆς, οἷον Σωκράτης.

9. Ἀπορεῖ πάλιν ὁ Πλωτῖνος, ὅτι τὸ μίαν οὖσαν τῶν ἐναντίων ἀνὰ μέρος εἶναι δεκτικὴν οὐ πάσαις ἐφαρμόζει οὔτε ταῖς νοηταῖς οὔτε ταῖς φυσικαῖς.

Πρὸς τὸ ἀπόρημα τοῦτο εἴποιμεν ἂν ὅτι οὐ πάσης οὐσίας τὸ

4. οἷον] οἷον ἡ R. — αὕτη R. — 5. ὑφίσταται S. — 6. τὸ] τὶ S. — 12. οὐκ om. S. — 14. εἴποι S. — 16. ὅρος οὐκ ἔστιν ὁ προσκείμενος S. — 23. προσθείην S., σωκράτην S. Simplicius. — 26. εἶναι om. S.

*ἰδίωμα παρέθετο, καὶ τοῦτο γνώριμον ἐκ τοῦ ἀρχόμενον μὲν τῆς ὑπογραφῆς τὸ ἔστι προσθεῖναι· λέγει γὰρ οὐσία δέ ἐστιν ἡ μὴ καθ' ὑποκειμένου μήτε ἐν ὑποκειμένῳ, ἑξῆς δὲ ἐπενεγκεῖν ἡ λεγομένη οὐσία τουτέστιν ἡ ἐν τῇ συνηθείᾳ καὶ περὶ ἧς ἄν τις κατηγορήσειε τουτὶ τὸ ὄνομα· παρὰ μὲν γὰρ τοῖς φιλοσόφοις ἄλλη λέγεται, παρὰ δὲ τοῖς πολλοῖς ἄλλη. περὶ ταύτης οὖν τῆς παρὰ τοῖς πολλοῖς λεγομένης τὸ ἰδίωμα παρέθετο, ὥστε πάσῃ ἂν αὐτῷ ἐφαρμόζοι τῇ συνθέτῳ καὶ τοῖς εἴδεσιν αὐτῆς καὶ γένεσιν.*

**10.** *Ἀλλὰ διὰ τί ἐνταῦθα μὲν πρώτην οὐσίαν τὴν αἰσθητὴν λέγει, ἀλλαχοῦ δὲ δευτέραν ὡς μετὰ τὴν ἀσώματον τεταγμένην;*

*Ὅτι οὐ πρόκειται αὐτῷ περὶ ἐκείνων εἰπεῖν, καὶ ὅτι οὐδὲ λέγονται ἐν τῇ συνηθείᾳ ἐκεῖναι οὐσίαι.*

**11.** *Περὶ δὲ τὸ αὐτὸ ζήτημα κἀκεῖνο στρέφεται, διὰ τί ἐν μὲν τοῖς Φυσικοῖς τὰ κοινὰ προτάττει ὡς πρῶτα, ἐνταῦθα δὲ τὰ καθέκαστα.*

*Ὅτι αὐτῷ διχῶς λέγεται τὸ πρότερον καὶ δεύτερον, ἤτοι τῇ φύσει ἢ πρὸς ἡμᾶς. πρὸς ἡμᾶς μὲν οὖν τὰ καθέκαστα πρῶτα· πρώτοις γὰρ τούτοις προσβάλλομεν, τῇ φύσει δὲ τὰ κοινὰ πρότερον· ὑπὸ γὰρ τὰ καθόλου τὰ καθ' ἕκαστον τέτακται. εἰ μὲν οὖν ἀπὸ τῆς φύσεως ἄρχοιτό τις, τὰ ἁπλᾶ, τὰ αἴτια, τὰ καθ' αὑτὰ παρ' αὑτῶν ἔχοντα τὸ εἶναι, τὰ καθόλου, τὰ ἄϋλα τὰ ἀμέριστα καὶ τὰ τοιαῦτα προτάξει· εἰ δὲ ἀπὸ τῆς σημαντικῆς σχέσεως πρὸς τὰ ὄντα ἡ τάξις αὐτῶν ἐπινοοῖτο, ἐναντίως ταχθήσονται.*

**12.** *Ἀλλὰ τί ἂν εἴποιμεν πρὸς τοὺς περὶ αὐτοῦ διαμφισβητοῦντας μήποτε οὐδὲ φύσει πρότερα ᾖ τὰ καθόλου τῶν καθέκαστον, ἀλλὰ ὕστερα;*

*Ἢ σκοποῦντες ἀκριβῶς εὕροιμεν ἂν τὰ ἀμφισβητούμενα ὡς ὁμο-*

---

3. *ἐπενέγκει* R., *ἐπενέγκοι* S. — 5. *τοῖς* post *γὰρ* om. S. — 8. *ἐφαρμόζει* R. — 14. *φυσικοῖς*] I, 1. — *προστάττει* S., pr. R. — 17. *πρότερα* Simplicius. — 18. *καθ' ἕκαστα* Simplicius. — 20. *ἄϋλα*] Simplicius, *αὐτὰ* libri. — 24. *τὰ καθόλου τῶν*] *τῶν καθόλου τὰ* S.

λογούμενα αὐτοὺς λαμβάνοντας· ὅταν γὰρ ἑνὸς ἑκάστου πρῶτα φύσει λέγωσι τὰ καθόλου, πάντως δὲ πάλιν ὕστερα ὑποτιθέμενοι τὰ καθέκαστα εἶναι καὶ τῇ φύσει πρότερα, οὐ καλῶς ὡς ἐν ἀρχῇ λαμβάνουσιν αὐτὸ ὅπερ δεῖται ἀποδείξεως. ἐπιπόλαια δέ ἐστι καὶ τὰ τοιαῦτα ἐπιχειρήματα, κοινοῦ μὲν ὄντος ἀνάγκη καὶ ἄτομον εἶναι· ἐν γὰρ τοῖς κοινοῖς τὰ ἄτομα περιέχεται· ἀτόμου δὲ ὄντος οὐ πάντως τὸ κοινόν, εἴγε τὸ κοινὸν ἐπὶ πολλοῖς ὑπάρχει· δῆλον γάρ, ὅτι τὸ καθέκαστον καταταχθέντος εἰς αὐτὸ τοῦ κοινοῦ καὶ συμπληροῦντος αὐτοῦ τὴν οὐσίαν, ἔστιν ἄτομον. ὁ γάρ τὶς ἄνθρωπος καὶ ἄνθρωπός ἐστι· ψεῦδος δέ ἐστι τὸ λέγειν, ὡς ἀναιρουμένου τοῦ κοινοῦ οὐ πάντως ἀναιρεῖται καὶ τὸ ἄτομον. εἰ γὰρ ἐν τούτῳ ἔχει τὸ κοινὸν τὴν οὐσίαν, ἐν τῷ διατείνειν ἐφ' ὅλα τὰ ὑπ' αὐτὸ τεταγμένα, ὁ ταύτην ἀναιρῶν ἀνῄρηκεν εὐθὺς καὶ τοῦ κοινοῦ τὴν ὅλην ὑπόστασιν. οὕτως μὲν οὖν τοῖς περὶ Ἀλέξανδρον καὶ Βοηθὸν τοῖς τε ἄλλοις Περιπατητικοῖς ἐπιχειροῦσιν ἀποκρίνεσθαι χρή, δεικνύναι δὲ ἐξηγουμένους τὰ μετὰ τὰ Φυσικὰ προσῆκεν, ὅτι τὰ κοινὰ Ἀριστοτέλης προτάττει καὶ ἐν τῇ τῶν αἰσθητῶν θεωρίᾳ.

13. Δοκεῖ δέ τισι μὴ ὀρθῶς ἡ τάξις ἔχειν ἐνταῦθα· ἀκόλουθον γὰρ ὡς φασὶν ἦν πρῶτον εἰπεῖν τὴν αἰτίαν δι' ἣν δεύτεραί εἰσιν οὐσίαι αἱ δεύτεραι, εἶθ' οὕτως τῶν δευτέρων οὐσιῶν τὴν σύγκρισιν ποιήσασθαι πρὸς ἀλλήλας.

Φαμὲν δὴ ἡμεῖς, ὡς ἔχει τοῦτο προειλημμένον ἐναργῶς ἀπὸ τῆς διαιρέσεως τῶν καθ' ὑποκειμένου, καὶ ἀπὸ τοῦ κυριωτάτην δεδεῖχθαι εἶναι οὐσίαν τὴν μήτε καθ' ὑποκειμένου μήτε ἐν ὑποκειμένῳ· ἀπὸ γὰρ τούτου ἐξ ἀνάγκης συμβαίνει δευτέρας εἶναι οὐσίας τὰς καθ' ὑποκειμένου μὲν λεγομένας μὴ ἐν ὑποκειμένῳ δὲ οὔσας.

14. Ἔτι προσαπορεῖ Πλωτῖνος περὶ τῆς τάξεως, ὡς ἀκόλουθον ἦν δεῖξαι τὴν πρώτην οὐσίαν μὴ οὖσαν μᾶλλον καὶ ἧττον οὐσίαν, εἶθ' οὕτως τῶν εἰδῶν τὸ μᾶλλον καὶ ἧττον.

---

1. **λαμβάνοντας αὐτοὺς** S. — **πρῶτα] πρότερα?** — 2. **λέγονται** S. — 16. **προσήκει?** — 18. **μὴ] μὲν** S. — 27. **ἔτι] ὅτι** S. — 29. **τοῦ εἴδους** S.

Ἔστι δὲ καὶ πρὸς τοῦτο ἡ αὐτὴ ἀπολογία, ὡς ἤδη προειλημμένον εἶχε τὸ μὴ εἶναι μᾶλλον καὶ ἧττον τὴν πρώτην οὐσίαν, ὅτε πρώτως αὐτὴν καὶ μάλιστα καὶ κυριώτατα οὐσίαν εἶναι ἀπεφαίνετο· πάντα γὰρ τὰ τοιαῦτα ὥρισται, καὶ οὐκ ἔχει τὴν τοῦ μᾶλλον καὶ ἧττον ἀπειρίαν. τὸ μὲν γὰρ μᾶλλον καὶ ἧττον πρόεισιν ἀεὶ ἀπαύστως, τὸ δὲ μάλιστα ἵσταται κατὰ τὴν ὑπερβολὴν καὶ τὸ πρώτως κατὰ τὴν ἀρχὴν καὶ τὸ κυριώτατα κατὰ τὴν προηγουμένην τῆς φύσεως ἰδιότητα.

**15.** Ἀλλ' εἰ οὐδεμία οὐσία μᾶλλον καὶ ἧττον, πῶς τὸ εἶδος τοῦ γένους μᾶλλον οὐσία λέγεται;

Ὅτι οὐ καθ' ὅσον οὐσίαι εἰσί, τὸ μᾶλλον καὶ ἧττον λαμβάνει, ἀλλὰ κατὰ τὴν τῆς αἰσθήσεως πλείονα ἢ ἥττονα ἀπόστασιν.

**16.** Ἀλλ' εἰ τὸ αἴτιον τῆς αἰσθητῆς οὐσίας λαμβάνει· τὰ γὰρ αἰσθητὰ γινόμενά ἐστι καὶ οὐκ ὄντα, ὁ τοῦτο λέγων ἀτόπως ἐπεισάγει τὸν περὶ τῶν πρώτων τῇ φύσει λόγον.

Ἡμεῖς δὲ νῦν οὐ τὰ τῇ φύσει πρῶτα ζητοῦμεν, ἀλλὰ τὰ ὡς πρὸς ἡμᾶς πρῶτα καὶ τὰ ἐν τῷ λέγεσθαι πρῶτα. εἰ δὴ πρώτοις τοῖς εἴδεσιν ἐντυγχάνομεν, εἶτα οὕτως τοῖς γένεσι, καὶ πρώτως τὰ εἴδη σημαίνομεν, δευτέρως δὲ τὰ γένη, εἰκότως ἂν καὶ μᾶλλον οὐσίαι λέγοιντο τὰ εἴδη τῶν γενῶν.

Τοῦτο μὲν δὴ οὕτως· εἰπὼν δὲ δευτέρως οὖν οὐσίαι τὰ γένη
**17.** καὶ τὰ εἴδη τῶν πρώτων οὐσιῶν λέγονται, ὥσπερ τομὴν γένους εἰς εἴδη πεποίηται, ἵν' ᾖ κοινὸν μὲν γένος ἡ οὐσία, εἴδη δὲ ἡ ἄτομος οὐσία καὶ ἡ δευτέρα οὐσία. ποῦ οὖν καὶ τὴν γενικὴν οὐσίαν ὡρίσατο;

Φημὶ δή, ὅτι ὑπογράψας τὴν μὲν πρώτην οὐσίαν διὰ τοῦ εἰπεῖν μήτε καθ' ὑποκειμένου λέγεσθαι, μήτε ἐν ὑποκειμένῳ εἶναι, τὴν δὲ δευτέραν μὴ ἐν ὑποκειμένῳ μὲν εἶναι, καθ' ὑποκειμένου δὲ λέγεσθαι,

---

2. μὴ] μὲν S. — 3. καὶ ante κυριώτατα om. R. vid. Arist. p. 2, 11. — 9. οὐσία] οὐσία τοῦ γένους S. — 10. καὶ] καὶ τὸ S. — 11. ἥττονα] ἐλάττονα S. — 13. ὁ] οὐ S. — 14. τὴν πρώτην R. — 16. εἰ δὴ] εἴδη libri. — 20. δὴ] οὖν S. — δευτέρως] δεύτεραι Arist. p. 2, 17. — 24. μὲν om. S. — τοῦ] τὸ S. — 25. εἶναι om. S.

κοινὸν ἐπ' ἀμφοῖν τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι λαμβάνει· εἰ δὴ τῆς πρώτης τὸ μὴ καθ' ὑποκειμένου λέγεσθαι ἴδιον, τῆς κοινῆς ἔσται τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι, καὶ οὐ παρεῖναι οὐδὲ αὕτη.

18. Ἀλλ' εἰ τομὴ εἰς εἴδη, οὐκ ἔστι δὲ εἶδος ἡ πρώτη οὐσία, μία γάρ ἐστι καὶ ἓν ἀριθμῷ, τὸ δὲ εἶδος πολλὰ ἀριθμῷ, πῶς ἂν εἴη τὰ εἰρημένα οὐσίας διαίρεσις;

Ἐροῦμεν δὴ ὅτι τὸ μίαν εἶναι ἀριθμῷ κοινὸς λόγος ἐστὶ πάσης τῆς πρώτης οὐσίας, ὃ μάλιστα ἴδιον εἴδους, κοινὸν δὲ καὶ τὸ μήτε καθ' ὑποκειμένου λέγεσθαι, μήτε ἐν ὑποκειμένῳ εἶναι. ὁ μὲν οὖν τὶς ἄνθρωπος ἢ τὶς ἵππος οὐκ ἔστιν εἶδος, ὡς δὲ πρώτη τοιαύτη οὐσία πᾶσα εἶδος ἂν εἴη.

19. Ἀλλ' ἐπεὶ εἴρηκε φανερὸν δὲ ἐκ τῶν εἰρημένων ὅτι τῶν καθ' ὑποκειμένου λεγομένων ἀναγκαῖον καὶ τοὔνομα καὶ τὸν λόγον κατηγορεῖσθαι, οὐ δείκνυσιν· ἀπὸ γὰρ τῶν περὶ τῆς οὐσίας εἰρημένων οὐδὲν φαίνεται τοιοῦτον. ἐῤῥήθη μὲν γάρ, ὅτι πρῶται εἰσιν οὐσίαι αἱ ἄτομοι, δεύτεραι δὲ τὰ εἴδη αὐτῶν καὶ τὰ τῶν εἰδῶν τούτων γένη, ταῦτα δὲ οὐδὲν συντελεῖ πρὸς σαφήνειαν τοῦ τὸν λόγον καὶ τοὔνομα κατηγορεῖσθαι τοῦ ὑποκειμένου.

Οἱ ταῦτα κατηγοροῦντες εἰκῇ ταράττονται. ἐξ ἐκείνων γὰρ δῆλον, ὧν προεῖπεν, ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου πάντα ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται. τούτῳ γὰρ ἕπεται τὸ δεῖν τὸ καθ' ὑποκειμένου κατηγορούμενον καὶ ὀνόματι καὶ λόγῳ ἀληθεύεσθαι κατὰ τοῦ ὑποκειμένου.

20. Ἐπεὶ δὲ περὶ τῶν διαφορῶν λέγει ὡς κοινὸν ἐχουσῶν πρὸς τὰς οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι, ἀφ' οὗ κατασκευάζει, ὅτι οὐκ ἴδιον τῆς οὐσίας τοῦτο, ἀναγκαῖον προλαβεῖν, ὅσα ἐστὶ χρήσιμα περὶ τῶν διαφορῶν.

---

1. ἀπ' S. — εἶναι om. S., item v. 3. — 3. παρεῖναι οὐδὲ αὕτη] παρει relicta lacuna S., fort. παρίεται vel παρεῖται, atque hoc apud Simplicium. — 4. εἰ] ἡ R. — 8. εἴδους ἴδιον S. — κοινὸν δὲ] ἐστὶ κοινὸν δὴ S. — 13. καὶ] εἶναι κατὰ S. — 14. περὶ] παρὰ R. — 20. κατηγορεῖται R.

Δοκεῖ μὲν οὖν τὸ χωρίζειν πεφυκὸς τὰ ὑπὸ τὸ αὐτὸ γένος τοῦτο διαφορὰν εἶναι, καὶ κατὰ τὴν τοιαύτην διάκρισιν ὡς πρὸς τὸ γένος νοεῖται αὐτῆς ἡ διαίρεσις· κυριώτερον δ' ἄν τις εἴποι, ὅτι τῷ εἴδει τὴν διαφορὰν χρὴ συντάττεσθαι, διόπερ πολλάκις ἀντὶ τοῦ εἴδους παραλαμβάνονται. σύμπασαι μὲν γὰρ διαφοραὶ ὁμοῦ ῥηθεῖεν ἂν περὶ τοῦ γένους, καθ' ἑαυτὴν δὲ ἑκάστη κατὰ μὲν τῶν ὑφ' ἑαυτὴν ῥηθείη ἄν, καθ' ὧν λέγεται κατὰ παντός, κατὰ δὲ τοῦ γένους οὐδαμῶς· οὐδὲ γὰρ μορφωτική ἐστιν ἑκάστη τοῦ γένους. διενήνοχε δὲ τοῦ εἴδους ἡ διαφορὰ ἢ ὅλον μέρους. ἔστι γὰρ ἡ διαφορὰ ποιότης συμπληρωτικὴ οὐσίας, καὶ οὐκ ἔστι μὲν ἐν ὑποκειμένῳ, ὅτι συμβάλλεται εἰς οὐσίαν τούτοις ἅπερ εἰδοποιεῖ, οὐκ ἔστι δὲ οὐσία, ὅτι οὐκ εἰς τὸ εἶναι ἀλλ' εἰς τοιόνδε εἶναι συμβάλλεται. χρὴ δὲ νοεῖν τὸ τοιόνδε οὐχ ὡς ἐπὶ τοῦ λευκοῦ φέρε λέγομεν· χωρίζεται γὰρ τοῦτο, ἡ δὲ διαφορὰ οὐ χωρίζεται, πλὴν εἰ μή τι συμφθαρείη τῷ ὑποκειμένῳ. ἂν δέ τις λέγῃ, ὅτι καὶ τὸ οὐσιῶδες συμβεβηκὸς ἄνευ φθορᾶς οὐ χωρίζεται, ἀλλ' ἐροῦμεν πρὸς αὐτὸν τὴν παντελῆ διάστασιν τοῦ οὐσιώδους συμβεβηκότος καὶ τῆς διαφορᾶς σημαίνοντες. ἄνεσις μὲν γὰρ καὶ ἐπίτασις περὶ τὸ οὐσιῶδες συμβεβηκὸς θεωρεῖται, οἷον περὶ τὸν Αἰθίοπα μεταστάντα εἰς ἄλλους τόπους ἄνεσις ἂν τοῦ μέλανος σώματος γένοιτο, καὶ ἡ τοῦ γάλακτος λευκότης ἧττόν ἐστι, μᾶλλον δὲ ἡ τῆς χιόνος. ἐπὶ δὲ τῆς διαφορᾶς τὸ μᾶλλον καὶ ἧττον οὐκ ἄν τις θεωρήσειεν· οὐ γάρ ἐστι δίπουν δίποδος· οὐδὲ πεζὸν πεζοῦ μᾶλλον.

21. Ἀλλ' εἰ μήτε οὐσία ἐστὶν ἡ διαφορά, μήτε συμβεβηκός, ἄλλο δὲ οὐσίας καὶ συμβεβηκότος οὐδέν ἐστι διάφορον τρίτον· πάντα γὰρ τὰ ὄντα ἢ καθ' ὑποκειμένου ἐστὶν ἢ ἐν ὑποκειμένῳ· ἢ γὰρ οὐσίαι εἰσὶν ἢ συμβεβηκότα· εἰ οὖν ἐν μηδετέρῳ τούτων τακτέον τὴν διαφοράν, ποῦ κατατάξομεν αὐτήν;

---

2. τοῦτο] ὄντα S. — 5. γὰρ] γὰρ αἱ S. — 11. τούτοις εἰς οὐσίαν S. — 12. scrib. τὸ τοιόνδε. — 13. τούτου S. — 19. γένοιτο] γένηται R. — 21. καὶ] καὶ τὸ S. — 23. οὐσία bis S. — 24. καὶ om. S. — οὐδὲ R. — 25. ἢ ἐν ὑποκειμένῳ ἐστὶν ἢ καθ' ὑποκειμένου S.

Εἰσὶ μὲν οὖν πολλαὶ πρὸς τοῦτο λύσεις ἃς μικρὸν ὕστερον ἐρῶ, πρῶτον δὲ βούλομαι ὥσπερ ἀξίωμά τι προθεῖναι, ἀφ' οὗ τὰς ἀπορίας καὶ τὰς λύσεις κρίνειν δυνησόμεθα. δοκεῖ δὴ τοῖς δεινοῖς περὶ τὴν τῶν ὄντων ἱστορίαν ἄῤῥητος γίγνεσθαι ἡ τῆς φύσεως ἀφ' ἑτέρου γένους εἰς ἕτερον γένος μετάβασις ἀεὶ τοῦ μέσου διαλανθάνοντος ἡμᾶς, οἷον τὸ δυνάμει τὸ ἐπὶ τῶν οὐσιῶν, οἷον λέγω ἐπὶ τῶν ἀνθρώπων ἢ τῶν ἄλλων ζώων ἐν τοῖς σπέρμασι θεωρούμενον οὔτε οὐσία οὐδέπω ἐστίν· ἔτι γάρ ἐστιν ἀτελές, οὔτε τὸ ἐνεργείᾳ τῷ οὕτως δυνάμει συμβέβηκε· τελειότης γὰρ τοῦτο· λείπεται τοίνυν μέσον τι ἄλλο εἶναι τῶν οὐσιῶν τοῦ τε ἐνεργείᾳ, φέρε ἀνθρώπου, καὶ τοῦ δυνάμει· ὁ αὐτὸς τοίνυν ἐστὶ λόγος καὶ περὶ τῆς διαφορᾶς· καὶ γὰρ αὕτη τὸ μέσον ἕξει ποιότητός τε καὶ οὐσίας, διὸ καὶ συντελεῖ εἰς τὸ εἶναι καὶ τὸ ποιὸν εἶναι, καὶ οὕτως ἔσται οὐκ ἐν ὑποκειμένῳ. διὸ δεῖ προστιθέναι εἰς τὸν ὅρον τοῦ ἐν ὑποκειμένῳ τὸ οὐδὲν συντελοῦντος εἰς τὴν οὐσίαν τοῦ ὑποκειμένου· τὸ γὰρ εἶδος συντελεῖ τι καὶ ἡ διαφορά. ἐπειδὴ τοίνυν ταῦτα προειλήφαμεν, ἀναλάβωμεν τὰς λύσεις τῶν παλαιῶν φιλοσόφων περὶ τῆς διαφορᾶς. μία μὲν δόξα γένοιτ' ἂν ἡ ποιότητα τιθεμένη τὴν διαφοράν, ποιότητα δὲ οὐσιώδη καὶ συμπληρωτικὴν τῆς οὐσίας· ἄλλη δ' ἡ μέσον ποιότητος καὶ οὐσίας τὴν διαφορὰν ὑπολαμβάνουσα, κοινόν τινα σύνδεσμον παρεχομένη ταῖς μὲν οὐσίαις πρὸς τὰ οὐσιώδη συμβεβηκότα, τοῖς δὲ συμβεβηκόσι πρὸς τὰς οὐσίας. ἡ γὰρ φύσις οὐκ εὐθὺς μεταβαίνει ἀπὸ τῶν ἐναντίων ἐπὶ τὰ ἐναντία, οἷον ἀπὸ τῶν ζώων ἐπὶ τὰ φυτά, ἀλλὰ καὶ μεταξύ τινα μέσην ζωὴν τὴν τῶν ζωοφύτων συνέστησε συναγωγὸν ἀμφοτέρων τῶν ἄκρων καὶ συμπληρωτικὴν καὶ συνδετικὴν αὐτῶν πρὸς ἄλληλα. καὶ ἐνταῦθα τοίνυν τῶν διαφόρων γενῶν οἷον οὐσίας καὶ συμβεβηκότος μέσον τι ἔσται κατὰ μέν τινας ὡς μετέχον ἀμφοτέρων τούτων, κατ' ἄλλους δὲ ὡς κεχωρισμένον ἀμφοῖν, ἄλλη δ' ἂν γένοιτο δόξα τῶν λεγόντων μὴ μόνον συμπληρω-

1. μικρῷ S. — ἐροῦμεν S. — 2. ἀξιώματι libri. — 7. θεωρουμένων S. — 12. τε om. S. — 17. τὴν om. S. — 18. ἄλλη δ' ἡ] ἀλλ' ἤδη R. — 23. τὴν om. S. — 25. συνδεκτικὴν S.

τικὴν εἶναι τῆς οὐσίας τὴν διαφοράν, ἀλλὰ καὶ μέρος αὐτῆς, ἤτοι τὴν κατὰ τὴν ἐμπερίληψιν τοῦ ὑποκειμένου θεωρουμένην μέρος οὖσαν τῆς κατὰ τὸ εἶδος οὐσίας, ἢ συναλλοιουμένην ταῖς περὶ τὸ ὑποκείμενον σχέσεσιν, ὡς περὶ αὐτὸ ἔχειν πως αὐτὴν καὶ διατίθεσθαι διαφόρως.

Δοκεῖ δέ μοι μηδαμῶς ἀληθὲς εἶναι τὸ τὴν διαφορὰν καθ' ὑποκειμένου 22. κατηγορεῖσθαι· οὔτε γὰρ τοὔνομα οὔτε τὸν λόγον ἔνεστι τῆς διαφορᾶς κατηγορεῖν τοῦ ὑποκειμένου, δῆλον δὲ ἐντεῦθεν· τὸ πεζὸν ἓν μὲν σημαίνει τὴν ἕξιν αὐτὴν οἷον τὴν πεζότητα αὐτήν, ἕτερον δὲ τὸ μετέχον τῆς ἕξεως ταύτης, ἅπερ οὐκ ἔστιν ἡ διαφορὰ ἀλλὰ τὸ διακείμενον κατ' αὐτήν. τούτων δὴ οὕτως ἐχόντων τὸ πεζὸν νῦν παρῶμεν, οὐ γὰρ τοῦτό ἐστιν ἡ διαφορὰ τὸ διακείμενον κατ' αὐτήν, αὐτὴν δὲ τὴν διαφορὰν λάβωμεν τὴν πεζότητα. ἆρ' οὖν οἷόν τ' ἐστὶ κατηγορῆσαι τοὔνομα κατὰ τοῦ ὑποκειμένου τῆς διαφορᾶς, ὥστε φάναι τὸ ὑποκείμενον εἶναι πεζότητα, ἢ τὸν λόγον αὐτῆς, ὥστε τὸ ὑποκείμενον εἰπεῖν ἕξιν εἶναι ἀφ' ἧς πεζοὶ γίνονται οἱ μετασχόντες; οὐκ ἔστιν εἰπεῖν· οὐχ ὑγιῶς τοίνυν εἴρηται τοὔνομα καὶ τὸν λόγον τῆς διαφορᾶς δύνασθαι κατηγορεῖσθαι τοῦ ὑποκειμένου. διὸ οὐδὲ συνωνύμως ἂν ῥηθείη διαφορὰ κατὰ τῶν ὑποκειμένων. οὐ καθ' ὑποκειμένου ἄρα, εἴπερ τὰ καθ' ὑποκειμένου συνωνύμως τῶν ὑπ' αὐτὰ ἀτόμων κατηγορεῖται.

Πρὸς δὴ τοῦτο τὸ ἀπόρημα οὕτως ἂν ἀπαντήσαιμεν. οὐ γάρ, ἅπερ ἐκεῖνοι βούλονται, τὸ ἔχον τὴν πεζότητα νῦν ἀφίημι, ὡς μὴ ὄντος μὲν τούτου διαφορᾶς, τοὐναντίον δὲ τῆς πεζότητος ὡς ἐκεῖνοι λέγουσιν. ἐπινοίᾳ γὰρ χωρίζοντες τὴν πεζότητα οὐ βούλονται τὸ μετὰ τοῦ ὑποκειμένου συνειλημμένον εἶναι διαφοράν, ἄλλο δέ ἐστι χωρίσαι τι τῇ ἐπινοίᾳ, ἄλλο ὡς συνυπάρχον τῷ ὑποκειμένῳ συλλαβεῖν. ἐπεὶ οὖν καὶ ὁ Ἀριστοτέλης περὶ τοῦ ὁριστικοῦ λόγου λέγει ἐνταῦθα, καὶ

---

1. τὴν post ἤτοι om. S. — 4. σχέσεσιν] σκέψεσιν S. — 8. μὲν om. R. — σημαίνειν R. — τὴν ἕξιν αὐτὴν om. S. — 9. scrib. ὅπερ. — 13. τοῦ om. S. — 16. καὶ om. S. — 25. συνειλημένον S. — ἄλλως S. — 26. καὶ ἄλλο S. — 27. καὶ τὸ] τῷ S.

τὸ συνωνύμως κατηγορεῖσθαι ἐπὶ τῶν διαφορῶν εἴρηκε τῶν συνειλημμένων μετὰ τῆς ὕλης, καὶ ἡμεῖς οὕτως ἐκδεχόμεθα· τὸ μὲν γὰρ πεζὸν καὶ τὴν πεζότητα ἔχει, ἡ δὲ πεζότης ἐπίνοιά τις οὖσα μόνον ψιλὴ τὸ πεζὸν οὐ συνείληφεν. οὐ χρὴ οὖν διαιρεῖν τὸν κατὰ τὸ ὑποκείμενον εἶδος λόγον καὶ τὸν ὁριστικόν. εἰ γὰρ ὁ ὁριστικὸς λόγος τὸ τί ἦν εἶναι δηλοῖ, τοῦτο δέ ἐστι τὸ εἶδος, οὐκ ἄλλος μὲν ἔσται ὁ κατὰ τὸ ὑποκείμενον λόγος, ἄλλος δὲ ὁ κατὰ τὸν ὅρον, ἐπεὶ καὶ ἄτοπον ἐν μὲν τῷ εἶναί τινι ὑπάρχειν, τὸ δὲ ὄνομα καὶ τὸν λόγον μὴ ἐπαληθεύεσθαι κατὰ τοῦ ὑποκειμένου. οὕτω μὲν οὖν ἡμεῖς ἀπηντήσαμεν. φαμὲν δὲ καὶ ἄλλην εἶναι λύσιν οὐκ ἀπόβλητον. ἐπεὶ γὰρ τὸ μάλιστα ποιοῦν τὸ εἶδος ἡ διαφορά ἐστιν, ἀληθεύεσθαι εἴρηκε τῷ λόγῳ τῷ τὸν τοῦ ὑποκειμένου λόγον ὑπὸ ταύτης συμπληροῦσθαι· καθ' ὑποκειμένου οὖν λέγεται, ὡς ἐκεῖνοι βούλονται, ὅτι συμπληρωτική ἐστι τοῦ κατὰ τὸ ὑποκείμενον λόγου· ἂν γὰρ εἴπω φησὶ πεζότητα, ἐπὶ γῆς διὰ σκελῶν εἴρηκα κινήσεως, ἡ δὲ ἐπὶ γῆς διὰ σκελῶν κίνησις καὶ τὸ πεζὸν καὶ τὸ οὕτως κινούμενον δηλοῖ. ταῦτα μὲν δὴ οὕτως· θαυμάζω δὲ τῶν Στωϊκῶν χωριζόντων τὰς ἕξεις ἀπὸ τῶν ἑκτῶν· ἀσώματα γὰρ μὴ παραδεχόμενοι καθ' ἑαυτά, ὅταν ἐρεσχελεῖν δέον ᾖ, ἐπὶ τὰς τοιαύτας διαλήψεις ἔρχονται. εἰ δὲ οὐδ' αἱ ποιότητες ἄνευ τῶν ποιῶν, οὐδ' αἱ ἕξεις ἄνευ τῶν ἑκτῶν, οὐδ' αἱ διαφοραὶ ἄνευ τοῦ ὑποκειμένου θεωρηθήσονται, ἀλλὰ τῷ ὁριστικῷ ἑαυτῶν λόγῳ συμπληρώσουσι τὰ ὑποκείμενα.

23. Ἀλλὰ πῶς παραχρῆμα μετέθετο; εἰπὼν γὰρ τὸ δοκεῖν πάσῃ οὐσίᾳ ὑπάρχειν τὸ τόδε λέγεσθαι ἐπήγαγεν ἑξῆς οὐ μὴν ἀληθές γε ἐστὶ τοῦτο.

Ἡμεῖς δὴ πρὸς αὐτοὺς ἀποκρινούμεθα, ὡς ἡ μὲν πρώτη δόξα οὐκ αὐτοῦ ἦν, ἀλλ' ἄλλοις ἀρέσκουσα· κατά τινας γὰρ τοῦτο δοξάζεται τοὺς ὑφεστάναι λέγοντας τὰ γένη καὶ τὰ εἴδη, ἡ δὲ δευτέρα

---

5. εἶδος] abundat. — ὁ om. S. — 10. δὴ R. — 18. αὐτὰ S. — 19. ἦν S. — 20. fort. οὔθ' . . οὔθ'. — 21. λόγῳ ἑαυτῶν S. — 24. τὸ om. S. — τόδε] fort. τόδε τι. — ἐφεξῆς S.

αὐτῷ ἐδόκει, διόπερ προθεὶς τὴν λεγομένην ὑφ' ἑτέρων προσέθηκεν ὕστερον ἣν αὐτὸς ἐδοκίμασε.

Πῶς οὖν τὸν τινὰ ἄνθρωπον λέγομεν καὶ ἄνθρωπον εἶναι καὶ ζῷον καὶ λογικὸν καὶ θνητόν, εἰ μὴ τόδε ἐστὶ πάντα ταῦτα.

Ὅτι τὰ εἴδη καταταχθέντα λέγομεν τάδε τινὰ εἶναι, ὁ δὲ λόγος ἦν περὶ τῶν καθ' αὐτὰ ἐπινοουμένων.

Ἀλλὰ κατὰ τί λέγομεν τόδε τι τὴν ἄτομον οὐσίαν, πότερον κατὰ τὸ εἶδος ἢ τὴν ὕλην ἢ τὸ ἐξ ἀμφοῖν;

Ἢ φήσομεν ὡς κατὰ πάντα, ἀλλὰ κατὰ μὲν τὴν ὕλην, καθόσον ὑπόκειται καὶ εἰς ἐνέργειαν ἥκει τοῦ δέχεσθαι τὸ εἶδος· κατὰ δὲ αὐτὸ τὸ εἶδος, καθόσον ὥρισται καὶ ἕν ἐστιν ἀριθμῷ. εἰ δέ τις τὴν ὕλην ἀόριστον οὖσαν μηδαμῶς τόδε τι εἶναι φήσει, ὑπομνήσομεν αὐτὸν ὡς οὐ περὶ τῆς ἀσχέτου ὕλης ἐστὶν ὁ παρὼν λόγος, περὶ δὲ τῆς σχέσιν ἐχούσης πρὸς τὸ εἶδος.

Ἀλλὰ πῶς τὸ λογικὸν ζῷον τῷ ἀλόγῳ οὐκ ἔστιν ἐναντίον;

24. Ὅτι ἡ ἔν τινι διαφορὰ τῇ ἐνυπαρχούσῃ διαφορᾷ ἐναντίον, τὸ δὲ ὅλον τῷ ὅλῳ οὐκ ἔστιν ἐναντίον. λόγος δὲ τούτου τοιοῦτος· τὸ ἐπιδεχόμενον τὰ ἐναντία οὐκ ἔστιν αὐτὸ ἐναντίον· εἰ γὰρ κατέχοιτο ὑφ' ἑνὸς τῶν ἐναντίων, οὐκ ἂν δύναιτο καὶ πρὸς τὴν τοῦ ἑτέρου ἐναντίου καταδοχὴν ἐπιτηδείως παρεσκευάσθαι, οἷον ψυχὴ σῶμα ἢ ἄτομος οὐσία ἢ δευτέρα οὐσία, εἴπερ ἐπιδέχοιτο τἀναντία αὐτὰ καθ' αὑτά, οὐκ ἔσται ἐναντία, ἀλλ' οὐδὲ εἰ διαιροῖτό τι εἰς τὰ ἐναντία, ὥσπερ τὸ ζῷον, οὐδὲ οὕτως ἔσται ἐναντίον· ἐκεῖνο δὲ περιέχει τὴν τῶν ἐναντίων διαίρεσιν, ὥστε οὐδὲν τούτων ἔσται ἐναντίον. γνοίη δ' ἄν τις καὶ ἀπὸ τοῦ ὅρου τῶν ἐναντίων τοῦτο. πλεῖστον γὰρ κεχωρίσθαι αὐτὰ ἀπ' ἀλλήλων ἀφοριζόμεθα, ὡς δὲ νῦν λέγεται, περὶ τὴν αὐτὴν οὐσίαν τοῦ ζῴου ὑπάρχει.

---

1. προσθεὶς S. — 2. ἐδοκίμαζε R. — 3. καὶ] εἶναι καὶ S. — 4. τόδε] fort. τόδε τινά. — 5. εἴδη] ἤδη R. — 8. ἢ κατὰ τὴν S. — 10. αὐτὸ] αὖ? — 11. ἔνεστιν R. — 12. ὑπόμνησον μὲν R. — 19. ἐναντίαν S. — 26. τὴν αὐτὴν] ταύτην τὴν R.

25. Ἀλλὰ πῶς τὸ πῦρ τῷ ὕδατι καὶ τὸν ἀέρα τῇ γῇ ἐναντία λέγει Ἀριστοτέλης;

Κατὰ τὰς εἰδοποιοὺς δηλονότι διαφορὰς φήσομεν, αἵτινες οὐκ εἰσὶν οὐσίαι· τὸ μὲν οὖν ψυχρὸν καὶ θερμὸν καὶ ξηρὸν καὶ ὑγρὸν ἀλλήλοις ἐναντία ὑπάρχει, αἱ δ' ὅλαι οὐσίαι πρὸς τὰς ὅλας οὐσίας οὐκ ἔχουσιν ἐναντίωσιν, αἵ γε καὶ ἐπὶ τῆς αὐτῆς ὕλης ὑφεστήκασιν.

26. Εἰ δέ τις τὸν ἄνθρωπον τῷ ἵππῳ λέγοι πῶς ἐναντίον εἶναι, καὶ τὸν τινὰ τῷ τινί;

Πρὸς αὐτὸν ἡμεῖς ἀποκρινούμεθα, ὡς οὐδὲν μᾶλλον ὁ τὶς ἵππος ἢ ὁτὶς βοῦς ἢ ἄλλοτι τῶν κατὰ τὴν πρώτην οὐσίαν συστοίχων ἐναντίον ἐστὶ πρὸς τὸν τινὰ ἄνθρωπον. εἰ δ' ἀδύνατός ἐστιν ἡ τῶν ἀορίστων πρὸς τὰ ὡρισμένα ἐναντίωσις· ἓν γὰρ ἑνὶ δεῖ ὡρίσθαι ἐξ ἀνάγκης ἐναντίον εἶναι, οὐκ ὀρθὸν ἂν εἴη, οὐδὲ οὕτως τὰς ἀντιθέσεις λαμβάνομεν.

27. Ἀλλὰ πῶς, εἰ τὸ εἶδος τῇ στερήσει λέγει ἐναντίον ἐν τοῖς Φυσικοῖς, ἀληθὲς τὸ νῦν ἀποφαίνεσθαι αὐτὸν μηδὲν εἶναι οὐσίᾳ ἐναντίον;

Ὅτι εἴωθε κοινότερον καὶ τὰ κατὰ στέρησιν ἀντικείμενα ἐναντία λέγειν, ὥστε ὅταν ἐν τοῖς Φυσικοῖς τὴν ἕξιν καὶ τὴν στέρησιν ἐναντία προσαγορεύῃ, οὐδαμῶς ἡμᾶς χρὴ ταράττεσθαι, ὅτι ἐν ταῖς κατηγορίαις εἰρηκὼς οὐσίαν οὐσίᾳ μὴ εἶναι ἐναντίον ἐν τοῖς Φυσικοῖς πάλιν δέχεται αὐτῶν τὴν ἐναντιότητα. κοινῷ γὰρ χρῆται τῷ τῆς ἐναντιώσεως ὀνόματι καὶ ἐπὶ τῶν ἄλλων ἀντιθέσεων. ἔστι μὲν οὖν καὶ αὕτη ἡ λύσις οὐκ ἀπόβλητος, ὡς ἔμοιγε δοκεῖ, κάλλιον δ' εἶναι καὶ Ἀριστοτελικώτερον μᾶλλον οὕτω λύειν τὴν ἀπορίαν ταύτην, ὅτι τὸ εἶδος τῇ στερήσει οὐχ ὡς οὐσία οὐσίᾳ ἀντίκειται, ἀλλ' ὡς τὸ ὂν πρὸς τὸ μὴ ὂν τῷ εἴδει, ἢ ὡς ἀρχὴ πρὸς τὸ ἔσχατον, καὶ τὸ ἀγαθὸν πρὸς τὸ

---

3. διαφορὰς δηλονότι S. — 4. ὑγρὸν καὶ ξηρὸν S. — 7. τι R. — εἶναι om. S. — 11. εἰ] ἡ S. — 12. τὸ ὡρισμένον R. — ἓν] ἐν R. — 17. τὰ om. S. — 19. προσαγορεύῃ] λέγῃ S. — 20. εἰρηκὼς om. S. — ἐναντία R. — 21. αὐτῶν τὴν] αὐτὴν S. — 23. ἀπόβλητον S. — ἔμοιγε] γέ μοι S. — 23. εἶναι] abundat. — 24. μᾶλλον om. S. — οὕτω post ταύτην S.

*κακὸν ἕξει κατὰ παντελῆ ἀπόστασιν ἢ ὕφεσιν τελέαν τὴν ἐναντίωσιν· οὕτω γὰρ ἡμῶν διαιρουμένων, οὐσιῶν μὲν ἐναντίωσις οὐ θεωρεῖται, ἄλλος δὲ ἐπὶ τῶν ἀρχῶν ἐναντιώσεως διορισμὸς φανήσεται, ὃς οὐκ ἔστιν ὑπὸ τὸ αὐτὸ γένος· οὐ γὰρ ἐν ὑπάρξει ἀμφότερα τὰ ἐναντία περιέχει, οὐδὲ μὴν γένη ὄντα αὐτὰ περιέχεται, ἀλλ' ὅτι τὸ μὲν ἐν τῷ εἶναι, τὸ δὲ ἐν τῷ μὴ ἔστιν.*

28. *Ἀλλὰ τὸ μηδὲν εἶναι οὐσίᾳ ἐναντίον ἐπὶ τῶν καθέκαστα οὐσιῶν ἐστι τῇ ἐπαγωγῇ δεδειγμένον, ὅλως δὲ οὐσία οὐκ ἔστιν δεδειγμένον.*

*Ὁ τοῦτο ἀπορῶν ἠγνόηκε τὴν διαιρετικὴν μέθοδον καὶ τὴν ταύτης χρείαν· ἐπεὶ γὰρ τῶν γενικωτάτων οὐκ ἔνεστιν ἐκ προτέρων καὶ αἰτιωτέρων ποιήσασθαι ἀπόδειξιν, ἀλλ' ἀνάγκη τελείαις διαιρέσεσι πάντα διαιρουμένους τὰ ὑπ' αὐτὰ θεωρεῖν τὴν κοινότητα αὐτῶν ἢ παραλλάττει, ὡς φέρε, ὅταν τὸ ζῷον διαιρῶμεν εἰς λογικὸν καὶ ἄλογον, ἢ ὑπόπουν καὶ ἄπουν, ἢ δίπουν καὶ τετράπουν, ἢ ὅσας ἄλλας ἐπιδέχεται διαιρέσεις, εἶτα μηδεμίαν αὐτῶν εὑρίσκοντες ἐκβαίνουσαν τοῦ ζῴου τὴν ταυτότητα τοῦ γένους οὐκ ἐξ ἐπαγωγῆς, ἀλλ' ἐκ τῆς τελείας διαιρέσεως λαμβάνομεν. ὥσπερ οὖν ἐπὶ τῶν ἄλλων ἡ διαίρεσις τὸ κοινὸν ἐν τοῖς ὑπ' αὐτὸ τεμνομένοις φυλάττει, οὕτως καὶ ἐπὶ τῶν οὐσιῶν νῦν δείκνυται. εἰ γὰρ αἱ οὐσίαι μὲν πᾶσαι νῦν διαιροῦνται ἀνελλιπῶς εἰς τὰς πρώτας καὶ δευτέρας οὐσίας, μηδέτεραι δὲ τούτων ἔχουσι τὴν ἐναντίωσιν· ἡ γὰρ διαίρεσις τελεία οὖσα πάντα τὰ ὑπὸ τὴν οὐσίαν περιελάμβανεν, ὥστε οὐ μόνον ἥ τις οὐσία τινί, ἀλλὰ καὶ ἁπλῶς πάσῃ οὐσίᾳ οὐδέν ἐστιν ἐναντίον. ἀπαντήσειε δ' ἄν τις καὶ οὕτως, ὅταν τι τῶν κατ' οὐσίαν συμπληρούντων ληφθείη, εὐθὺς τοῦτο ὅπερ ἐφ' ἑκάστου καὶ ἐπὶ τοῦ παντὸς ἀληθὲς ἀποδείκνυται, οἷον τὸ λογικὸν ἐφ' ἑκάστου τε τοῦ ἀνθρώπου καὶ ἐπὶ παντός, καὶ τῇ οὐσίᾳ τοίνυν, εἴπερ κατ' οὐσίαν ὑπάρχει τὸ μηδεμίαν σχέσιν ἐναντιώσεως ἔχειν οὐκ ἐπὶ τινός, ἀλλὰ καὶ ἐπὶ πασῶν ἀληθὲς ἔσται.*

---

3. *ἄλλως* S. — 5. *περιέχεται*] rc. corr. R., *παρέχεται* R, S. — 8. *οὐκ ἔστιν οὐσία* S., *οὐσία* fort. del. — 12. *θεωρεῖ* S. — 15. *ἐμβαίνουσαν* R. — 19. *νῦν* om. S. — 20. *τὰς* om. S. — 22. *οὐ μόνον* om. S. — 24. scrib. *ληφθῇ*. — *ὅπερ*] *ὅπως* S.

**29.** *Πάλιν ἄπορον φαίνεται, πῶς ἐν μὲν τοῖς πρὸ τούτου εἰρημένοις μᾶλλον καὶ ἧττον οὐσία διώρισται ἡ τοῦ εἴδους παρὰ τὴν τοῦ γένους, νυνὶ δὲ οὐ λέγεται μᾶλλον καὶ ἧττον εἶναι.*

*Ὅτι οὐχ ὡσαύτως ἑκάτερον λέγεται, ἀλλὰ τὸ μὲν καθ' ἑαυτό, τὸ δὲ κατὰ συμβεβηκός· τὸ γὰρ μᾶλλον εἶναι τὸ εἶδος ἢ τὸ γένος, οὐχ ἡ οὐσία, οὐδ' ὅπερ ἐστὶν ἕκαστον, κατὰ τοῦτο ἐπιδέχεται τὸ μᾶλλον, ἀλλ' ἡ ἐγγυτέρω τῆς ἀτόμου οὐσίας προχωρεῖ, τὸ δὲ ἧττον ὑφεστηκὸς ποῤῥωτέρω αὐτῆς ἀφέστηκε. τοῦτο δὲ συμβέβηκεν ἄλλως. νυνὶ δὲ καθὸ ἐστιν ἑκάστη τοῦτο ὅπερ ἐστίν, οὔ φησι λέγεσθαι αὐτὴν μᾶλλον οὐδ' ἧττον. οὐκ ἄρα ἐναντία λέγεται τὰ παρόντα τοῖς πρὸ τούτων.*

**30.** *Ἔτι κἀκεῖνο ζητήσεως ἄξιον, πῶς ὁ μᾶλλον λογικὸς οὐ μᾶλλόν ἐστιν ἄνθρωπος.*

*Ὅτι οὐ κατὰ τὴν ἐπίτασιν τοῦ λογικοῦ ὁ ἄνθρωπος ἔχει τὸ εἶναι, ἀλλὰ κατὰ τὸ εἶδος. τοῦτο δ' ἕστηκεν ἀεί, ἡ δὲ ἐνέργεια τοῦ ἀνθρώπου κατὰ τὸ διάφορον τοῦ μᾶλλον λογικοῦ παρέχει τὸ λογικώτερον τῷ ἀνθρώπῳ, οὐ κατὰ τὴν ἀνθρωπότητα καὶ τὸ δύνασθαι εἶναι λογικῷ τὸ εἶναι αὐτῷ ὁμοίως πάρεστιν. ἔστω ἄρα οὗτος μὲν ὁ αὐτός, ἡ δὲ ἐνέργεια τοῦ λογικοῦ τὸ μᾶλλον καὶ ἧττον προσλήψεται· ἐπαινῶ μὲν οὖν καὶ ταύτην τὴν λύσιν· εἰ δὲ δεῖ κατὰ τὴν Ἀριστοτέλειον δόξαν βαθύτερον αὐτὴν ἀποδοῦναι, οὕτως ἂν θεωρητικώτερον δείξαιμεν τὸ ζητούμενον· πέφυκε μεθ' ἑκάστου τῶν εἰδῶν καὶ τὸ ποιὸν συνυφίστασθαι, ἕτερον μὲν ὂν τοῦ εἴδους, ἠρτημένον δὲ ἀπ' αὐτοῦ, καὶ τὸ μὲν εἶδος μέρος ὂν τῆς συνθέτου οὐσίας καὶ ἀτόμου συμπληρωτικόν ἐστιν αὐτῆς, καὶ οὐδέποτε ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον, αἱ δὲ συντρέχουσαι τοῖς εἴδεσι ποιότητες, ὅπου μὲν ἡ λογική, ὅπου δὲ ἡ θερμότης, ὅπου δὲ ἡ ξηρότης ἐπιδέχεται τὸ μᾶλλον, καὶ οὕτως οὐκ*

---

1. scrib. **τούτων**. — 2. **μᾶλλον . . λέγεται** om. S., **καὶ ἧττον** fort. del. — 4. **ἑκάτερον ὡσαύτως** S. — 8. **ὑφέστηκε** R. — 9. **ὅπερ ἐστὶν** om. S. — 10. **παρόντα**] **ἐναντία** S. — 15. **τοῦ ἀνθρώπου** om. S. — 21. **δείξαιμεν**] **παραστήσαιμεν** S. — 25. **δέχεται** R.

*ἔστιν ἡ φαινομένη αὕτη κατὰ τὸ μᾶλλον ὑπεροχὴ τοῦ εἴδους, ἀλλὰ τῆς ποιότητος, ἐπεὶ καὶ ὁ σπουδαῖος ὅταν μᾶλλον ἄνθρωπος λέγηται, οὐχ ᾗ ἄνθρωπος, ἀλλ' ὡς οὕτω διακείμενος ἐπιτείνεται. τοῦτο δὲ οὐκ οὐσίαν ἀλλὰ ποιὸν σημαίνει, ὥστε ἡμῖν ἀληθῶς φαίνεσθαι ἔχον τὸ ἦν εἶναι οὐσίαν οὐσίας μᾶλλον καὶ ἧττον.*

**31.** *Πῶς οὖν ἡ ὕλη τὸ μᾶλλον καὶ ἧττον λέγεται, καὶ τἀναντία ἐφ' ἑαυτῆς φαντάζεται μικρὸν καὶ μέγα καὶ ἐλλεῖπον καὶ ὑπερέχον; πῶς δὲ πᾶν ὅπερ ἂν ἐπαγγέλληται ψεύδεται, κἂν μέγα φαντασθῇ μικρόν ἐστι, κἂν μᾶλλον ἧττόν ἐστιν;*

*Ἐροῦμεν δὴ οὖν, ὅτι ταῦτα ἀπὸ τῆς τοῦ εἴδους σχέσεως παραγίνεται εἰς τὴν ὕλην πάσας τὰς τοιαύτας παραλλάξεις λαμβάνουσαν κατ' αὐτὴν τὴν σχέσιν τοῦ εἴδους πρὸς ὅπερ ὑφίσταται ἄλλως καὶ ἄλλως ἔχουσα. καθὸ μὲν γὰρ μᾶλλον αὐτὴν τὸ εἶδος κρατεῖ, ἐνεργότερον φαίνεται. καθὸ δὲ ἧττον, ἀμυδρότερον καὶ αὐτὸ εἰς τὴν ὕλην διαδείκνυται. αὐτὴ μέντοι καθ' ἑαυτὴν οὐδαμῶς ἡ ὕλη διαφέρει κατ' οὐδὲν τούτων· δυνάμει γὰρ πάντα ἐστίν, ὡσαύτως καὶ τὴν ἴσην πρὸς ὅλα τὰ ὄντα ἔμφασιν καὶ ὑποδοχὴν τῆς οὐσίας παρέχεται.*

**32.** *Αὐτὸ δὲ τοῦτο πάλιν ζητήσεως ἄξιον, διὰ τί αἱ μὲν οὐσίαι τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπιδέχονται, αἱ δὲ ποίοτητες ἐπιδέχονται;*

*Ἢ καὶ τοῦτο δυνησόμεθα λῦσαι κατὰ τὸν αὐτὸν λόγον, τὰς μὲν οὐσίας τῷ ἐν ἑαυταῖς εἶναι μένειν καθ' ἕνα ὅρον ἀποφαινόμενοι, τὰς δὲ ποιότητας τῷ ἐν ἑτέροις ἔχειν τὸ εἶναι μετ' ἐκείνων συναλλοιοῦσθαι, εἰκότως ἄρα αἱ μὲν οὐσίαι οὔτε ἀφ' ἑαυτῶν, οὔτε ἀπ' ἄλλων δέχονται τὴν ἐπίτασιν, αἱ δὲ ποιότητες ἀπὸ τῶν ὑποκειμένων ἐν οἷς ἐγγίγνονται κατὰ τὸ μᾶλλον καὶ ἧττον ἐπιτείνονται.*

**33.** *Πῶς δὲ ἂν εἰκότως εἴποιμεν τοὺς πολλοὺς αὐτὸν αἰτιᾶσθαι ὡς ἀμφιβάλλοντα καὶ μὴ ἀποφαινόμενον; τὸ γὰρ ἴδιον τῆς οὐσίας ἀποδι-*

---

4. *ἔχον τὸ ἦν* fort. *ἔχειν τὸ μή.* — 6. *ἀφ'* S. — 7. *ὑπερέχον καὶ ἐλλεῖπον* S. — 8. *ἐπαγγέληται* S. — 12. *τοῦ εἴδους τὴν σχέσιν* S. — 13. *αὐτῆς* S. — 15. *ἡ ὕλη οὐδαμῶς* S. — 19. *ἐπίδεχονται*] *ἔχουσιν* R. — 21. *αὐταῖς* S. — 22. *ἐκείνου* pr. S. — 24. *ἀπὸ*] *ὑπὸ* S. — 26. *ἂν*] fort. *οὐκ ἂν* vel *ἂν ἀνεικίτως.*

δοὺς φησὶ μάλιστα αὐτῆς ἴδιον εἶναι δοκεῖ τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων εἶναι δεκτικόν.

Φημὶ δή, ὅτι τοῦ ἰδίου πολλαχῶς λεγομένου, κυρίως δὲ τοῦ παντὶ καὶ μόνῳ ὑπάρχοντος νῦν τὸ δοκεῖ πρόσκειται δεικνυμένου αὐτοῦ, ὅτι τῆς καθόλου οὐσίας καὶ τῆς πρώτης οὐχ οἷόντε τοῦτο εἶναι ἴδιον, ὡς πέφυκε τὸ ὄντως ἴδιον ὑπάρχειν, καὶ ὅτι ἴδιον οὕτω λέγεται οὐχ ὡς πάσῃ ὑπάρχον καὶ τῇ καθόλου καὶ τῇ κατὰ μέρος, ἀλλ' ὅτι ἐν μόνῃ ταύτῃ ἐστὶ τὸ τοιοῦτον ἴδιον, ἐν οὐδεμιᾷ δὲ ἄλλῃ τῶν κατηγοριῶν. οὕτως γὰρ καὶ τὸ πῦρ λεπτομερέστατον λέγεται, οὐχ ὅτι πᾶν πῦρ ὁμοίως λεπτομερέστατον, ἀλλ' ὅτι ἐν τῷ πυρί ἐστι τὸ λεπτομερέστατον. καὶ ἐνταῦθα οὖν, ἐπειδὴ εἴτε ἐστὶν ἄτομον δεκτικὸν τῶν ἐναντίων, ὑπὸ τὴν οὐσίαν ἐστί, διὰ τοῦτο ἴδιον δοκεῖ εἶναι καὶ τῆς ἁπλῶς οὐσίας τὸ δεκτικὸν τῶν ἐναντίων. γνωσόμεθα δὲ τοῦτο σαφέστερον ἀπὸ τῆς ἀντιστροφῆς. εἴτε γὰρ οὐσία ἐστί, δεῖ τι εἶναι ἐν αὐτῇ ἄτομον ἓν ὂν ὃ καὶ ταὐτὸν ὑπάρχον τῶν ἐναντίων ἀνὰ μέρος ἐστὶ δεκτικόν, εἴτε ἓν ὂν καὶ ταὐτὸ τἀναντία δέχεται, οὐσία ἐστίν. οὕτως οὖν ἔσται ἴδιον ὡς ἐπὶ μηδενὸς τῶν ἄλλων λεγόμενον, ἐπὶ μόνης δὲ τῆς οὐσίας καὶ ἀπὸ ταύτης ἐπὶ τῶν ἀτόμων.

24. Ἀλλ' οὐκέτι ἀμφιβάλλειν χρή, ὅτι προσθεὶς τῷ ἀριθμῷ ἓν μόνων τῶν ἀτόμων τοῦτο ἴδιον ἀποδέδωκε. τῷ γὰρ γένει καὶ τῷ εἴδει οὐχ ὑπάρχει τοῦτο ἴδιον.

Ἢ πρὸς τοῦτο οὐ χαλεπὸν ἐκεῖνο ἀντειπεῖν, ὅτι τρόπος εἷς ἐστι γνώσεως ὁ ἀπὸ μέρους τὸ ὅλον συνεμφαίνων, ὥστε καὶ ἐνταῦθα, εἰ τοῦ ἀτόμου τοῦτό ἐστι τὸ ἰδίωμα, δύναται καὶ τοῦ γένους εἶναι τὸ αὐτό; ἐπειδὴ γὰρ διὰ τὴν ἄτομον οὐσίαν καὶ τῷ ἐν αὐτῇ εἶναι αἱ δεύτεραι οὐσίαι λέγονται τὰ ἐναντία δέχεσθαι, διὰ τοῦτο τὸ ἴδιον αὐτῶν κυρίως ἀφωρίσατο δηλῶν, ὅτι οὐ τοῦ ἁπλῶς καὶ ἐν ἐπινοίᾳ

1. φημὶ S. — 3. δή] δὴ οὖν S. — δὲ] δὴ S. — 6. ὡς πέφυκε . . . δὲ ἄλλῃ om. S. — 12. δοκεῖ post τοῦτο S. — 13. ἁπλῆς S. — 16. ὂν ἓν S. sic. — 18. ἀπὸ] corr. R., ἐπὶ R., S. — 19. τῷ] scrib. τό. — 20. τοῦτο τὸ S. — 22. ὅτι om. S. — 26. τὸ om. S.

*ἀνθρώπου οὐδὲ τοῦ κοινοῦ καὶ καθ' ἑαυτὸ νοουμένου ζώου τὸ ἴδιον νῦν ἀφορίζεται, ἀλλὰ τοῦ κατατεταγμένου καὶ ἐν ὑπάρξει καὶ ἐν τῷδε ὄντος. ὁ γὰρ ἐν τοῖς καθ' ἕκαστον θεωρούμενος ἄνθρωπος καὶ τὸ ζῶον τὸ ἐν τοῖς κατὰ μέρος ἤδη κατατεταγμένον τὸ τοιοῦτον ἴδιον ἐπιδέχεται.*

**35.** *Ἂν τοίνυν τούτων τις λαβόμενος τῶν κατασκευῶν ἕτερον ἡμῖν χεῖρον ἀνθυποφέρων λέγῃ, οὔκουν ἔσται μόνης τῆς οὐσίας ἴδιον τὸ εἰρημένον· καὶ γὰρ αἱ ἕξεις καὶ αἱ διαθέσεις τῶν ἐναντίων εἰσὶ δεκτικαί, τί πρὸς αὐτὸν ἐροῦμεν; ἕξις μὲν γὰρ καὶ διάθεσις καὶ πρᾶξις λέγεται φαύλη καὶ σπουδαία, κίνησις δὲ ταχεῖα καὶ βραδεῖα γίνεται, ὥστε οὐ μόναις ὑπάρχει ταῖς οὐσίαις τὸ ἐπιδεκτικὸν τῶν ἐναντίων, ἀλλὰ καὶ ἄλλοις πλείοσιν.*

*Ἀλλὰ πρὸς τοὺς ταῦτα λέγοντας ἀπὸ τῶν ἤδη προειρημένων ἀπαντᾶν χρή· οὐ γὰρ τὰ γένη καὶ τὰ εἴδη τῶν οὐσιῶν αὐτὰ καθ' αὑτὰ τῶν ἀτόμων ὡς γένη καὶ εἴδη θεωροῦντες δεκτικὰ τῶν ἐναντίων ἀνὰ μέρος ἐλέγομεν, ἀλλ' ὡς ἐν τοῖς ἀτόμοις θεωρούμενα καὶ ὡς συνυπάρχοντα τοῖς ἀτόμοις. ἄλλως οὖν θεωρεῖται ἐπὶ τῶν οὐσιῶν τὸ ἀνὰ μέρος τῶν ἐναντίων εἶναι δεκτικόν, ἄλλως ἐπὶ κινήσεως καὶ πράξεως καὶ διαθέσεως καὶ τῶν τοιούτων. εἰ μὲν γὰρ οὐσία μία καὶ ἡ αὐτὴ οὖσα οἷον ὁ Σωκράτης τὰ ἐναντία ἐπιδέχεται παρὰ μέρος, ὥστε τε καὶ τὸ εἶδος ὁ ἄνθρωπος καὶ τὸ γένος τὸ ζῶον τὰ ἐν αὐτῷ θεωρούμενα δέξεται τὰ ἐναντία ἀνὰ μέρος διὰ τὸ καὶ τὸν Σωκράτην εἶναι ἄνθρωπον καὶ ζῶον. ἐπὶ δὲ τῶν ἄλλων οὐχ οὕτως συμβαίνει. ἥδε μὲν γὰρ ἡ πρᾶξις οἷον ἡ Ἀριστείδου καλή, ἥδε δὲ φαύλη οἷον ἡ Εὐρυβάτου· ὁμοίως καὶ ἡ ἕξις καθ' ἣν ἡ πρᾶξις, ἥδε μὲν σπουδαία, ἥδε δὲ φαύλη. ἄλλαι οὖν καὶ ἄλλαι εἰσὶ γιγνόμεναι σπουδαῖαι καὶ φαῦλαι συμμεταβάλλουσαι ἐν τῷ ἑνὶ τῶν ἐναντίων, οὐχ αὐταὶ ὥσπερ*

---

4. *κατὰ μέρος ἤδη*] *τοιούτοις* S. — 7. *λέγει* R., *τῆς* om. S. — 13. *ἀπὸ*] *ἐκ* S., *εἰρημένων* S. — 16. *λέγομεν* S. — 18. *ἄλλως*] *καὶ ἄλλως* S., *κινήσεως* . . *ἐπιδέχεται* addit rc. R. — 20. *οὖσα*] *καὶ οὖσα* R. — 21. *ὥστε τε*] abundant. — *γένος καὶ τὸ* R. — 22. *τὰ* ante *ἐναντία* del. — 27. *οὐκ αὐταὶ*] *οὐχ ἑαυταὶ* libri.

αἱ ἄτομοι οὐσίαι ὑπομένουσαι τὴν τῶν ἐναντίων μεταβολήν. ὥσπερ γὰρ φέρε τὰ τέσσαρα, ἐὰν ἀποβάλλῃ τὸ τέσσαρα εἶναι, οὐδὲ ἄρτιά ἐστιν; οὕτω καὶ πρᾶξις φέρε ἡ καλὴ οἷον ἡ Ἀριστείδου ἀφαιρεθεῖσα τοῦ εἶναι καλὴ καὶ δικαία, οὐδὲ πρᾶξις ἔτι εἶναι λέγεται Ἀριστείδου, ἢ πάλιν ἡ Εὐρυβάτου τὸ κακὴ εἶναι μηκέτι ἔχουσα οὐδὲ πρᾶξις Εὐρυβάτου εἶναι λέγεται. εἰ μὲν γὰρ ἠδύνατο ἡ καλὴ πρᾶξις φέρε ἡ Ἀριστείδου καὶ κακὴ γενέσθαι, ἀπολέσασα τὸ καλὸν ἠδύνατο μένειν πρᾶξις. ἐπεὶ δὲ τοῦ ὅπερ ἐστὶ καλὴ πρᾶξις, ἐὰν ἀφαιρεθῇ, οὐκέτι οὐδὲ ὀνομάζεται καθ' αὑτήν, εὔδηλον ὡς ἑνὶ μόνῳ συνουσίωται τῷ καλῷ, καὶ πάλιν ἡ φαύλη τῷ κακῷ. αἱ μέντοι οὐσίαι διαμένουσιν αἱ αὐταὶ τῶν ἐναντίων μεταβαλλόντων.

36. Ἀλλὰ πῶς ὁ πατὴρ ὁτὲ μὲν ὑγιαίνει ὁτὲ δὲ νοσεῖ;

Διότι ἄνθρωπός ἐστι φήσομεν. γίνεται οὖν κατὰ συμβεβηκὸς ἡ τοιαύτη κατηγορία. ἔστι δὲ τὸ ἴδιον τῆς οὐσίας οὐ κατὰ συμβεβηκός, ἀλλὰ καθ' ἑαυτό, καὶ οὐ κατ' ἄλλο ἀλλὰ κατὰ τὴν ἐν αὐτῇ μεταβολήν.

37. Ἀλλὰ τίνος ἐναντίου ὁ ἥλιός ἐστι δεκτικός, ὥς γε ἐν ἑνὶ εἴδει ἀεὶ ἕστηκεν ὡσαύτως; οὐδὲν γὰρ τῇ φύσει αὐτοῦ ἐστιν ἐναντίον. ὅ γε μὴν οὐρανὸς οὐκ ἂν σταίη οὐδέποτε, στάσις δὲ κινήσει ἐναντία. ἀλλὰ καὶ τὸ πῦρ τῶν φθαρτῶν ὂν θερμότητος μέν ἐστιν ἐπιδεκτικόν, ψυχρότητος δὲ οὔ. καὶ ἡ χιὼν ψυχρότητος μέν ἐστι ἐπιδεκτική, θερμότητος δὲ οὔ.

Πρὸς ταῦτα δὴ οὖν εἴποιμεν ἄν, ὡς τὸ ἰδίωμα τίθεται ἐνταῦθα πάσης τῆς ἐν μεταβολαῖς δυναμένης γίγνεσθαι οὐσίας, οὐ μέντοι τῆς ἐν τῷ εἶναι περιεχούσης τὸ ἀμετάβλητον τῶν εἰδῶν. ἔτι ἐπιδεκτικὴν εἶναι τῶν ἐναντίων φησίν, ἀλλ' οὐχὶ οὐσιῶσθαι ἐν τοῖς ἐναντίοις, τὸ δὲ πῦρ οὐκ ἐδέξατο τὴν θερμότητα, ἀλλ' ἐστὶν αὐτοῦ ἐν τῇ οὐσίᾳ ἡ θερμότης. οὐδὲν δὲ ἑαυτὸ ἐπιδέχεται, ἀλλὰ τῶν ἔξωθέν τι, οἷον τὸ ὕδωρ θερμότητα ἐπιδέχεται ἐπίκτητον οὖσαν ποιότητα, ὑγρότητα δὲ οὐκέτι· σύμφυτος γάρ ἐστιν αὐτῷ· καὶ ἡ γῆ ὑγρότητα μὲν ἐπιδέχεται,

---

2. τὸ] τὰ R. — 4. λέγεται εἶναι S. — 7. scrib. ἠδύνατο ἄν. — 13. διότι] ὅτι S. — 15. αὐτῷ S. — 18. δὲ] γὰρ S. — 22. οὖν om. S.

ὡς ἂν ἐκτὸς οὖσαν ποιότητα, ξηρότητα δὲ οὐδαμῶς· τῇ γὰρ οὐσίᾳ αὐτῆς συνυπάρχει. καὶ τὰ οὐράνια τοίνυν ἐν τῇ κυκλοφορίᾳ τὸ εἶναι ἔχει, καὶ οὐκ ἂν ἔχοι τινὰ παραδοχὴν τῆς ἐναντιώσεως. ἔτι οὐδὲ ποιότητές εἰσιν αἱ τοιαῦται ἰδιότητες, ἀλλ' οὐσιώδεις διαφοραὶ καὶ συμπληρωτικαὶ τῆς οὐσίας, ὥστε οὐκ ἂν μένοντι ἐξίστατο τῶν κατ' οὐσίαν ὑπαρχόντων. οἷς οὖν μὴ φύσει καὶ ἀχωρίστως θάτερον ὑπάρχει, ταῦτα δεκτικά ἐστι τῶν ἐναντίων.

38. Ἀλλ' ἐπανέλθωμεν πάλιν ἐφ' ἑτέρας κατηγορίας. ὥσπερ τὰ γένη καὶ τὰ εἴδη πρὸς τὴν οἰκείαν ὑπόστασιν οὐκ ἐξήρκει ἑαυτοῖς τὸ δέχεσθαι τὰ ἐναντία, ἀλλὰ κατὰ τὰς ὑποκειμένας ἀτόμους οὐσίας, οὕτως οὐδὲ αἱ ἕξεις καὶ αἱ διαθέσεις καὶ αἱ κινήσεις καθ' ἑαυτὰς δέχονται τὰ ἐναντία, ἀλλὰ κατὰ τὰ ὑποκείμενα αἰσθητά.

Φαμὲν δὴ οὖν ὅτι τῇ οὐσίᾳ ὑπάρχει τὸ δέχεσθαι τὰ ἐναντία, διότι ὑπόκειται πανταχοῦ πᾶσι, καὶ περὶ αὐτὴν καὶ ἐφ' ἑαυτῇ πάντα ὑπάρχει, ὥστε καὶ περὶ αὐτὴν τὰ ἐναντία ἐστί, τῶν δὲ ἄλλων οὐδενὶ τὸ ἐπιδεκτικὸν ὑπάρχει. οὐδὲ γὰρ πρὸς τὴν οἰκείαν ὑπόστασιν ἐξήρκει ἑαυτοῖς τὰ συμβεβηκότα, ἀλλ' ἑτέρας ὑποβάθρας δεῖται πρὸς τὸ εἶναι, καὶ οὐδὲ τὴν ἀρχὴν ὑπόκειται οὐδενί· πῶς ἂν οὖν δέχοιτο τὰ ἐναντία ἅγε οὐδὲ ὑπομένει; τὸ μὲν γὰρ ὑποκείμενον οἷον τὸ σῶμα λευκὸν καὶ μέλαν γίγνεται μένον σῶμα, τὸ δὲ χρῶμα οὔ· οὐδὲ ὅταν ἐκ λευκοῦ μέλαν γένηται, τὸ λευκὸν παρὸν δέχεται τὸ μέλαν, ἀλλὰ τὸ μὲν οὐκέτι ἐστίν, οὐδὲ μένον παραδέχεται τὴν ἐναντίαν πρὸς ἑαυτὸ μορφήν, ἀλλ' ἐξίσταται· τὸ δὲ ἐγγίγνεται. καὶ τὸ μὲν ζῷον καὶ ὁ ἄνθρωπος, ἐπειδὴ ὑπομένει, δέχεται τὰ ἐναντία, καθόσον εἰσὶν οὐσίαι ἐν τῷ τινὶ ἀνθρώπῳ, τὸ δὲ χρῶμα οὐχ ὑπομένει, διὰ τοῦτο οὐκ ἐπιδέχεται· ὅταν γὰρ ἀπίῃ τὸ λευκόν, συναπέρχεται σὺν αὐτῷ καὶ τὸ χρῶμα, ἢ οὐκ ἔτι ἔσται, καὶ ἅμα τῷ παραγίνεσθαι τὴν μελανίαν πα-

---

5. fort. ἐξίσταιτο. — 12. τὰ om. S. — 19. οἷον] ἤγουν S. — 22. μόνον S. — 26. ἀπίῃ] ἀπῇ libri. — σὺν αὐτῷ] μετ' αὐτοῦ S. — 27. ἢ fort. καί. — ἅμα τῷ] Sahunius, ἅμα τὸ libri. — παραγίνεσθαι] παράγεσθαι libri.

ραγίνεται ἡ ἐπ' αὐτῇ χροιά, ἢ εἰ μὴ τοῦτό ἐστιν ὅτε ἐστίν, οὐ μέντοι μένον τὸ χρῶμα τὰ ἐξιόντα καὶ εἰσιόντα δέχεται.

**39.** Πάλιν Πλωτῖνος ἀπορεῖ λέγων, ὅτι συμβεβηκός ἐστι περὶ τὴν οὐσίαν τὸ δέχεσθαι ἀνὰ μέρος τὰ ἐναντία, ὥστε ὃ μέν ἐστιν ἡ οὐσία οὐκ εἴρηκεν, οὐδ' ὅπερ ἀεὶ ὑπάρχει ἰδίως παρέστησεν ὁ Ἀριστοτέλης, ὃ δὲ ἄλλως αὐτῇ παρηκολούθηκε, δεδήλωκε.

Φήσομεν οὖν πρὸς τὸν ἄνδρα, τὸν ταῦτ' ἀποροῦντα ὡς κριτήν τινα καὶ τὴν αἰσθητὴν οὐσίαν ἀπαιτεῖν, ὃ μέλλει ταὐτὸν παρέχειν πᾶσιν οὐσίας εἶδος, οὐ προσποιεῖται δέ, ὅτι συμπεφορημένης ταύτης οὔσης δεῖ καὶ τὰ ἰδιώματα τοιαῦτα εἶναι, ὁποία αὐτή ἐστιν, ἐπεὶ καὶ νῦν ὁ Ἀριστοτέλης βουλόμενος ἐνδείξασθαι τὸ συμπεφορημένον καὶ μὴ ἀληθινὸν τῆς ἐνύλου, καὶ συνθέτου καὶ ἐν γενέσει οὐσίας διὰ τῆς μεταβολῆς τῆς εἰς τὰ ἐναντία ἐποιήσατο τὴν ἀπόδοσιν, ὥστε τὸ σύνθετον τῆς οὐσίας καὶ κατὰ πλῆθος θεωρουμένης λογιζόμενος, οὕτως καὶ τὸ ἴδιον αὐτῆς θεωρεῖ, ὥστε καὶ τῇ φύσει αὐτῆς καὶ τῇ τοιαύτῃ ὑποστάσει ὀφεῖλον συνυπάρχειν. εἰ μὲν οὖν ποτὲ μὲν εἶχε τὸ τῶν ἐναντίων ἀνὰ μέρος δεκτικόν, ποτὲ δὲ μὴ εἶχε, συμβεβηκὸς ἂν ἦν τοῦτο· ἐπεὶ δὲ δυνάμει ὑπάρχει αὐτῆς τὸ πρὸς τἀναντία αὐτὴν ὑποκεῖσθαι, τοιαύτη δέ ἐστι καὶ ἡ σύνθετος οὐσία ὡς πάντων μετέχειν τῶν εἰδῶν καὶ συμπεφορῆσθαι ἐκ τῶν εἰς τὴν ὕλην ἐρχομένων πάντων, εἰκότως τῷ συνθέτῳ αὐτῆς καὶ ἡ πρὸς τὰ ἐναντία ὑποδοχὴ συνελήλυθεν.

**40.** Ὁμοίως Πλωτῖνος ἀπορεῖ, εἰ ἡ αἰσθητὴ οὐσία οὐκ ἄνευ μεγέθους οὐδ' ἄνευ ποιότητος, πῶς τὰ συμβεβηκότα αὐτῆς χωρίζομεν; ἔστω δὲ τὸ λεγόμενον ἐπὶ παραδείγματος. τοῦ πυρὸς οὐσίας λεγομένης, ἐὰν τὸ ξηρὸν καὶ θερμὸν θελήσωμεν χωρίσαι, οὐκ ἔτι ἔσται τὸ ὅλον οὐσία,

---

2. εἰσιόντα καὶ ἐξιόντα S. — 3. πλωτῖνος λέγει συμβεβηκὸς S. — 7. κριτήν τινα] lac. in S., αἰσθητὴν] αἴσθησιν S. — 9. fort. προσποιεῖσθαι. — ταύτης συμπ. S. — 14. fort. θεωρούμενον. — 16. ὀφεῖλον] imo ὀφείλειν, nisi ὡς pro ὥστε reponas. — 18. αὐτῆς] scrib. αὐτῇ. — 19. μετέχει S. — 24. δὲ] δὴ S. — 26. χωρῖσαί S.

ἀλλά τι αὐτοῦ μέρος. τοῦτο δέ ἐστιν ἡ ὕλη, ὥστε μόνη ἡ οὐσία εὑρεθήσεται ἡ ὕλη.

Πρῶτον μὲν οὖν τὸ σύμμικτον καὶ συμπεφορημένον τῆς ἐνταῦθα οὐσίας οὐχ ὁρᾷ, ἀλλὰ ἀποδιαλαμβάνων καθ' ἑαυτὰ θεωρεῖ τὰ ὑπάρχοντα αὐτῇ, μηδαμῶς αὐτῶν κατ' ἰδίαν ὑφεστηκότων ἀλλὰ πάντων ἐν ἀλλήλοις καὶ μετ' ἀλλήλων τὸ ὁπωσοῦν ὑφεστάναι ἐχόντων, δεύτερον δὲ ὅτι τὸ θερμὸν καὶ τὸ ξηρὸν καὶ τὰς κατ' εἴδη συμπληρωτικὰς διαφορὰς οὐ χωριστὰς ποιότητας διαλαμβάνει καὶ τὴν κατὰ τὸ εἶδος οὐσίαν οὐ προσποιεῖται, οὐδὲ ὅτι ἡ πρώτη ὑπόστασις τῆς συνθέτου οὐσίας ἐξ ὕλης ἐστὶ καὶ εἴδους, ὥσπερ ἐν τοῖς Φυσικοῖς δείκνυται. τῶν δ' ἐπεισιόντων αὐτῇ αἱ μὲν οὐσιώδεις ποιότητες συμπληροῦσιν αὐτὴν καὶ συνυφιστᾶσιν, αἱ δὲ ὡς χωρισταὶ ἐπιγίγνονται. ἀπὸ γὰρ τούτων προῆλθεν εἰς ὑπόνοιαν τοῦ νομίζειν εἶναι τὴν ὕλην κυρίως οὐσίαν κατὰ Ἀριστοτέλην, τὸ δὲ οὐχ οὕτως ἔχει· ἔδειξε γὰρ ἐν τοῖς Φυσικοῖς, ὅτι τὸ εἶδος μάλιστά ἐστιν ἡ οὐσία, ἔπειτα οὐδὲ αἱ ποιότητες αἱ οὐσιώδεις αἳ ὑπάρχουσι μετ' αὐτῆς, χωρίζονται, ἀλλὰ δυνάμει ἐκείνην τηροῦσιν. ἡ μὲν γὰρ τούτων σύνοδος τὸ ὅλον ὑφίστησι· μένει μέντοι ἡ ὕλη δυνάμει. κἂν τὰς οὐσιώδεις ποιότητας, κἂν τὰ χωριστὰ δέχηται· τὸ οὖν οὐκ ἄνευ μεγέθους καὶ οὐκ ἄνευ ποιότητος τὴν αἰσθητὴν οὐσίαν θεωρεῖσθαι λέγεται μὲν ὀρθῶς, οὐκέτι μέντοι ὅπερ ἐστὶν ἀληθὲς τοῦτο προστιθέμενον ἔχει τὸ ὅτι κἂν τὰ εἴδη τῇ ἐπινοίᾳ χωριζόμενα, ἀλλ' ἡ ὕλη δυνάμει μένει ἐμφανταζομένη τῇ τῶν εἰδῶν συνόδῳ, ὥστε εἰ μηδὲ εἶναι ἄνευ τῶν εἰδῶν ἡ ὕλη δύναται, κυριωτέρα ἐστὶν οὐσία ἡ κατὰ τὸ εἶδος.

Ἀλλ' οὐχὶ εἰ μὴ πάσχοι τὸ τῶν ἐκτὸς πάθος ὁ λόγος καὶ ἡ δόξα,
41. οὐδὲ ὅλως πάσχει; πάσχει γὰρ ὁ λόγος καὶ δέχεται τὴν ἐν αὐτῷ μεταβολὴν τὴν κατὰ τὸ ἀληθεύειν καὶ ψεύδεσθαι· λόγου γὰρ αὕτη ἐναντίωσις καὶ τῆς δόξης αὐτῆς· ἐπεὶ ὥρα γε λέγειν μηδὲ τὴν ψυχὴν δεκτικὴν εἶναι τῶν ἐναντίων, ἐπεὶ οὐ δέχεται τὸ λευκὸν καὶ μέλαν· οὐδὲ γὰρ πέφυκε τούτων εἶναι ἐπιδεκτική, ἀλλ' ἐπιδέχεται ἃ πέφυκε

---

11. μὲν] μὲν ὡς S. — 13. τὴν ὕλην εἶναι S. — 19. οὐκ om. S.

δέχεσθαι, οἷον φρόνησιν καὶ ἀφροσύνην, διὰ τοῦτο ἔσται περὶ αὐτὴν ἡ οἰκεία ἐναντίωσις· οὕτως οὖν καὶ ἐνταῦθα, ὡς ὁ λόγος δέχεται τὰ ἐναντία καὶ ἡ δόξα, τουτέστιν τὴν κατὰ τὸ ἀληθὲς καὶ ψεῦδος δεχόμενα μεταβολήν, οὐ μέντοι τὴν κατὰ τὸ καθῆσθαι ἢ μὴ καθῆσθαι. ἔσται οὖν περὶ αὐτὰ κατὰ μεταβολὴν ἡ ἐναντιώσις τὴν προσήκουσαν τῷ λόγῳ καὶ τῇ δόξῃ.

Πρὸς δὴ ταῦτα ἐροῦμεν, ὅτι οὐ καθ' ἑαυτὸν ὁ λόγος ἐπιδέχεται τὸ ἀληθὲς καὶ τὸ ψεῦδος μηνυτικός γε ὤν, ἀλλ' οὐ κατὰ τὴν οἰκείαν φύσιν κατὰ τὸ πρός τι ἐπιδέχεται τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. κατὰ γὰρ τὸ σύμφωνος ἢ ἀσύμφωνος εἶναι τοῖς πράγμασιν ἀληθεύειν ἢ ψεύδεσθαι λέγεται. ὥσπερ οὖν ἐν τοῖς πρός τι μηδεμιᾶς ἐν αὐτοῖς μεταβολῆς γενομένης ὁ δεξιὸς ἀριστερὸς γίγνεται τῷ ἄλλον μετακινηθῆναι, οὕτω καὶ ἐνταῦθα οὐ τῷ παθεῖν τι τὸν λόγον ἢ μεταβάλλειν τὴν δόξαν ἐξ ἀληθῶν ψευδῆ γίγνεται, ἀλλὰ μένοντα ἀκίνητα διὰ τὴν τῶν πραγμάτων μεταβολὴν δοκεῖ ἄλλοτε ἄλλως ἔχειν· εἰ δ' ἄρα τις καὶ δοίη λόγου ὡς λόγου καὶ δόξης εἶναι τὰς τοιαύτας μεταβολάς, ἔσται μὲν ἡ μεταβολὴ κατὰ τὸ ἀληθὲς καὶ ψεῦδος, οὐ μέντοι τὸ αὐτὰ παθεῖν·· μένει γὰρ ἀκίνητα.

12. Ἀλλ' ἄγε εἰ βούλει συγχωρήσομεν τῆς οὐσίας ἴδιον τοῦτο εἶναι, ἀλλ' ὅμως οὐ παρίστησι τί ἐστιν οὐσία· τίνι γὰρ ἐπερείσαντες τὴν διάνοιαν τὰ μὲν οὐσίας λέγομεν τὰ δὲ πάθη; εἰ μὲν τῷ τόδε εἶναι καὶ τῷ μὴ ἐν ἄλλῳ ὑπάρχειν, τὸ εἶδος καὶ τὸ γένος τούτου οὐκ ἕξει· κατὰ μὲν γὰρ τῆς ἀτόμου οὐσίας τὸ εἶδος λέγεται, τὸ δὲ γένος καὶ κατὰ τοῦ εἴδους καὶ κατὰ τοῦ ἀτόμου.

Πρῶτον μὲν οὖν ἐροῦμεν, ὅτι κατ' ἄλλον οὕτως λέγεται οὐχ ὡς τὸ συμβεβηκός, ὅτι μὲν ἄλλῳ, ἀλλ' ὡς γένος, ὅτι συμπληρωτικὸν τοῦ ὑποκειμένου καὶ ὡσαύτως περὶ αὐτοῦ λεγόμενον. ἔπειτα δ πολλάκις εἰρήκαμεν πρὸς τὸν ἄνδρα, κἀκεῖνο προστίθεμεν, ὡς οὐ χρὴ τὴν ἀσώ-

---

2. ὁ om. S. — 4. τὸ om. R. — 17. τὸ] τῷ S. — 20. ἡ οὐσία S. — 21. λέγωμεν? — 22. τούτου οὐκ ἕξει] scrib. τούτων οὐδὲν ἔχει vel τοῦτο οὐχ ἕξει. 23. τὸ δὲ γένος] δὲ τὸ γένος S. post εἴδους. — 26. μὲν] μὲν ἐν Sahunius, imo ἐν.

*ματον οὐσίαν ἐπιζητεῖν ἐπὶ τῶν σωμάτων, οὐδὲ τὸ καθ' ἑαυτὸ καὶ ἐν κεχωρισμένον ἐπὶ τῶν μὴ δυναμένων ἐπιδέχεσθαι ταῦτα. χρὴ δὲ καὶ τοῦτο εἰδέναι, ὡς τῶν ἀνωτάτω γενῶν οὐχ οἷόντε ἀκριβεῖς ὅρους ἀποδιδόναι, οὐδὲ τὴν οὐσίαν αὐτῶν τελέως πᾶσαν περιλαβεῖν δυνατόν. πᾶσα γὰρ ἀπὸ τῶν ὑστέρων γίνεται ἡ περὶ αὐτῶν διδασκαλία, ὑπομνήσει μᾶλλον ἐοικυῖα καὶ ὑπογραφῇ. οὐ δεῖ τοίνυν πλέον ἐπιζητεῖν παρὰ τοῦ λόγου, ἢ ὅσον ἐπιδέχεται ἡ τῶν πραγμάτων σαφήνεια, ὥστε ἐξαρκεῖ καὶ τὸ ἴδιον ἀποδοῦναι, ἀφ' οὗ εἰ κατ' οὐσίαν αἱ λέξεις κατηγοροῦνται, ἔνεστι μαθεῖν.*

---

1. ζητεῖν S.

# Δεξίππου Πλατωνικοῦ φιλοσόφου τῶν εἰς τὰς Ἀριστοτέλους κατηγορίας ἀποριῶν τε καὶ λύσεων τρίτον.

## Κεφάλαια τοῦ τρίτου βιβλίου.


α. Ὅτι κατὰ Πλωτῖνον ἡ ποιότης ὀφείλει προτάττεσθαι τοῦ ποσοῦ.

β. Ἀπορία Πλωτίνου, ἐν ᾗ ζητεῖται, τί κοινὸν κατὰ τοῦ συνεχοῦς καὶ διωρισμένου τὸ κατηγορούμενον.

γ. Ὅτι τὸ διωρισμένον ποσὸν πρότερόν ἐστι τοῦ συνεχοῦς, καὶ συναναιρεῖ μέν, οὐ συναναιρεῖται δέ, καὶ συνεπιφέρεται μὲν ὑπὸ τοῦ συνεχοῦς, οὐ συνεπιφέρει δέ.

δ. Πλωτίνου ἀπορία, ὅτι ἄλλη μὲν ἡ φύσις τοῦ ἀριθμοῦ καθ' ἑαυτήν ἐστιν, ἄλλη δὲ καθ' ἣν τὸ τοσόνδε αὐτῇ ὑπάρχει.

ε. Πλωτίνου ἀπορία, πότερον ἐνσυνυπάρχει τοῖς ἀριθμουμένοις ὁ ἀριθμός, ἢ χωρὶς αὐτῶν μετρεῖ.

ϛ. Ὅτι ἡ αὐτὸ τοῦτο ποσότης οὐ πάντως ἐστὶ ποσόν.

ζ. Ἀπορία Πλωτίνου, ὅτι τῷ λόγῳ τὸ ποσὸν συμβέβηκε.

η. Πλωτίνου ἀπορία, ὅτι οὐδ' ἑαυτόν, ἀλλ' ἐν τῷ χρόνῳ ὄντι ποσῷ λεγόμενος ὁ λόγος καὶ αὐτὸς ποσὸν [γίνεται];

θ. Πλωτίνου ἀπορία, ὅτι οὐκ ἐξαρκεῖ τὸ μετρεῖσθαι πρὸς τὸ εἶναι ποσόν.

ι. Ἄλλη Πλωτίνου ἀπορία, ὅτι ὡς ἡ πρᾶξις κατὰ συμβεβηκός ἐστι ποσή, οὕτω καὶ ὁ λόγος.


---

Titulum et libri indicem om. S. — 12. scrib. ἐνυπάρχει. — 17. γίνεται delet R.

ια. Ὅτι οὐ δύναται ὁ λόγος τῶν μετὰ συμπλοκῆς ὧν ὑπὸ κατηγορίαν πίπτειν, εἴ γε αἱ κατηγορίαι ἁπλαῖ εἰσίν.

ιβ. Ὅτι μᾶλλον ἔδει συνεχῆ λέγειν τὸν λόγον καὶ τὸν ἀριθμὸν ἢ τὸ σῶμα.

ιγ. Διὰ τί ὡς ἀμφιβάλλων εἶπεν εἰ τὰ πέντε τῶν δέκα μόρια.

ιδ. Ὅτι σῶμα καὶ μέγεθος καὶ γραμμὴ καὶ ἐπιφάνεια καθ' ἑαυτὰ οὐκ ἔστι ποσά, ἀλλὰ τῷ μετασχεῖν τοῦ ποσοῦ.

ιε. Ὅτι μὴ προδιδάξας περὶ τόπου καὶ χρόνου χρῆται αὐτοῖς ὡς ἤδη προεγνωσμένοις.

ις. Ὅτι τρίτον εἶδος ἄλλο ποσοῦ παραφῆκεν.

ιζ. Πλωτίνου ἀπορία περὶ τοῦ χρόνου πῶς λέγεται ποσός.

ιη. Ὅτι ὁ χρόνος μᾶλλόν ἐστι τοῦ πρός τι.

ιθ. Πλωτίνου ἀπορία περὶ τοῦ τόπου.

κ. Πότερον δύο ἢ τρία ὑπάρχειν δεῖ τοῖς θέσιν ἔχουσιν;

κα. Εἰ προηγουμένως ὁ τόπος καὶ ἡ ἐπιφάνεια θέσιν ἔχει;

κβ. Ὅτι ὅλως οὐ δύναται εἶναι θέσις.

κγ. Ὅτι ἡ ἐπιφάνεια κατὰ συμβεβηκός ἐστι ποσή.

κδ. Ὅτι τινὰ θέσιν ἔχοντα οὐκ ἔστι ποσά.

κε. Τί κριτήριον τοῦ διωρισμένου ποσοῦ καὶ τοῦ ἀορίστου;

κς. Διὰ τί τὸ ἀόριστον ποσὸν τὸ μὲν ἁπλῶς λέγεται, τὸ δὲ πρός τι;

κζ. Ὅτι ἐναντίωσίς ἐστιν ἐν τῷ ποσῷ, καὶ ταῦτα λέγοντος Ἀριστοτέλους τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον.

κη. Ὅτι δύναται τὸ πολὺ καὶ τὸ ὀλίγον ποσὰ εἶναι.

κθ. Πότερον τὰ σχήματα ποιὰ δεῖ λέγειν ἢ ποσά;

λ. Ποῦ χρὴ τάττειν τὴν γεωμετρίαν, ἐν τῷ ποσῷ ἢ ἐν τῷ ποιῷ;

λα. Πῶς λέγει τῷ ποσῷ μηδὲν εἶναι ἐναντίον;

λβ. Ὅτι ὁ τόπος οὐκ ἔστι καθ' ἑαυτὸν αἴτιος τῆς ἐπὶ τοσόνδε κινήσεως.

λγ. Διὰ τί οὐ λέγομεν τὰ κατὰ διάμετρον ἐναντία, εἴγε τὴν ἐναντιότητα τῇ μεγίστῃ διαστάσει μετροῦμεν;

λδ. Πότερον καὶ ἐπὶ τῆς βαρύτητος καὶ κουφότητος τὸ ἴσον καὶ ἄνισον χρὴ λέγειν ἢ οὔ;

λε. Ὅτι ἐὰν ὡς ἐπὶ ποιῶν τοῦ βαρέος καὶ κούφου τὸ ἴσον καὶ ἄνισον λέγῃ, οὐκ ἂν ἴδιον εἴη τοῦτο τοῦ ποσοῦ.

λϛ. Διὰ τί εἶπε τῶν δὲ λοιπῶν ὃ μή ἐστι ποσὸν οὐ πάνυ ἂν δόξειεν ἴσον τε καὶ ἄνισον λέγεσθαι;

λζ. Ὅτι εἰ καὶ ἐπὶ ποσοῦ λέγεται τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον, οὐκ ἂν εἴη ἴδιον τοῦ ποιοῦ;

λη. Πῶς ἀνελὼν τὴν ἐναντιότητα τοῦ ποσοῦ ἐν τῷ ἰδίῳ αὐτοῦ ἐναντίωσιν ὑποτίθεται;

λθ. Ὅτι οὐ παντὶ ὑπάρχει τῷ ποσῷ τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι.

μ. Ποῦ χρὴ τάττειν τὰς τοῦ ποσοῦ ἀποφάσεις;

1. *Τὰ μὲν δὴ περὶ τῆς οὐσίας ἀπόρηματα, ὦ κάλλιστε τῶν ἐμῶν ἑταίρων Σέλευκε, οὕτως ἡμῖν ἐξήτασται. βούλει δὲ μέχρι ταύτης ἱστώμεθα, ἢ πάλιν ἐπὶ τὴν τοῦ ποσοῦ φύσιν μεταβαίνωμεν;*

*Ἀλλ' οὔτε ἄλλῳ τῶν φιλοσόφων, οὔτε δὴ μάλιστά σοι τῷ τοὺς πόνους ἀπαραιτήτους ἔχοντι ἀτέλεστον τὴν συγγραφὴν καταλιπεῖν πρέπει. Ἡσίοδος μὲν γὰρ καὶ τὰ κάλλη τῶν οἰκοδομημάτων εἰς τέλος ἄγειν ἀξιοῖ, ἵνα μή τις αὐτοῖς, ὡς ὁ ποιητὴς ἐκεῖνός φησιν, ἐφεζομένη κρώζῃ λακέρυζα κορώνη, ἡμεῖς δὲ οὐ φοβηθησόμεθα, μή τις ἡμᾶς εὐλόγως μέμψηται ὡς ἀπεγνωκότας ἑαυτῶν, εἰ μὴ πρὸς τέλος τῆς συγγραφῆς ἥξομεν, μᾶλλον δὲ μηδ' εἶναι τροφίμους τῆς ἐλπίδος ἀποφαίνηται, ἣν δὴ Πίνδαρος γλυκεῖαν εἶναι βούλεται καὶ τὴν καρδίαν ἀτάλλοισαν συναορεῖν. ταῦτα μὲν οὖν ἀφείσθω, περὶ δὲ τῆς τάξεως τῶν κατηγοριῶν ἤδη πρὸς ἀλλήλους διαλεχθῶμεν. Πρῶτον γὰρ δεῖ σε τὴν οὐσίαν ἀποδοῦναι, δι' ἣν δεύτερον τὸ ποσὸν τάττεται μετὰ τὴν οὐσίαν. Πλωτῖνος γὰρ ἐνδηλότατα γνωρίσματα βούλεται παρέχειν τὴν ποιότητα τοῦ μᾶλλον αὐτὴν εἶναι προσεχεστέραν τῇ οὐσίᾳ, οὑτωσί πως τὸν λόγον ἐπαρχόμενος· οὐσίαν τὴν κυριωτάτην εἶναι τιθέμεθα τὸ εἶδος κατά γε αὐτὸν Ἀριστοτέλην. εἰ δὲ τοῦτο οὕτως*

---

3. *ἱστώμεθα*] *ἱστάμεθα* libri. — 5. *πρέπει*] *δεῖ* R. — *Ἡσίοδος*] *Ἔργ.* v. 744. — 7. *ὁ* om. S. — 9. *αὑτῶν* S. — 11. *Πίνδαρος*] Fragm. 233. — *γλυκεῖαν εἶναι*] *γλυκεῖαν* ante *Πίνδαρος* S. — 12. *συναορεῖν*] *συναρεῖν* libri. — 18. *κατά γε*] *κατ'* S.

ἔχει, τὸ συγγενὲς πρὸς τὸ εἶδος πρότερον ἂν εἴη τῶν διεστηκότων πορρωτέρω. ὁμολογεῖται τοίνυν πρώτως ἀπὸ τοῦ εἴδους τὸ ποιὸν ὑφίστασθαι τοιοῦτον ὁποῖόν ἐστι τὸ εἶδος; ὥστε εἰ τῇ κυριωτάτῃ οὐσίᾳ συνῆπται τῇ κατὰ τὸ εἶδος, εἰκότως ἂν δευτέραν ἔχοι τάξιν τὸ ποιὸν μετὰ τὴν οὐσίαν. μάλιστα δὲ διότι τὸ ποιὸν ἀμέριστόν ἐστι καὶ ἀδιαίρετον, καὶ ἀμερίστως περὶ τοῖς σώμασι κατὰ συμβεβηκὸς διαιρεῖται, διότι ποιόν ἐστι τὸ μετέχον ποιότητος. εὐλόγως ἂν οὖν κατά γε τοῦτο προτάττοιτο τοῦ ποσοῦ τὸ ποιόν, εἴπερ τὸ ἀδιάστατον τοῦ διαστατοῦ, καὶ τὸ ἀμέριστον τοῦ μεριστοῦ, καὶ τὸ ἀδιαίρετον κατ' αὐτὸν τὸν τοῦ ποιοῦ λόγον τοῦ διαιρετοῦ, καὶ τὸ ἁπλοῦν τοῦ συνθέτου κατὰ φύσιν τε προτέτακται καὶ πρὸς τὰς ἀσωμάτους ἀρχάς ἐστιν οἰκειότερον.

Καὶ Ἀρχύτας μὲν ὁ Πυθαγορικός, προσεχέστατε Σέλευκε, τῇ τάξει ταύτῃ κέχρηται λέγων ὧδέ πως· ἁ δὲ τάξις αὐτῶν ὧδε ἔχει. πράτα μὲν τέτακται ἁ οὐσία διὰ τὸ μόνον ταύταν ὑποκεῖσθαι τοῖς ἄλλοις, καὶ αὐτὰν καθ' αὐτὰν δύνασθαι νοεῖσθαι, τὰς δὲ ἄλλας μὴ ἄνευ ταύτας· ἤτοι γὰρ κατ' αὐτᾶς ἢ ἐν ὑποκειμένῳ καταγορεῦνται. δευτέρα δὲ ἁ ποιότας· ἄνευ γὰρ τῶ τί ἐστιν ἦμεν ἀδύνατον ποιόν τι ἦμεν. οὕτω μὲν οὖν οἱ ἀπὸ Πυθαγόρου καὶ Πλωτίνου χωρίζουσιν· ἡμεῖς δὲ ὑπὲρ Ἀριστοτέλους ἀπολογιζόμενοι τοιαύτην τινὰ τὴν αἰτίαν τῆς τάξεως ἀποδίδομεν. πρῶτον μὲν τῷ ὄντως ὄντι καὶ νοητῷ καὶ ἑνὶ τὸ πλῆθος συνυπέστη καὶ τὰ εἴδη καὶ τὰ παραδείγματα, εἰ καὶ ἥνωται ἐν τῇ τοῦ θεοῦ νοήσει, ἀλλ' ἰδίαν οὐσίαν καὶ περιγραφὴν ἔχοντα ἐν τῇ ἁπλότητι τοῦ θεοῦ τὴν ἕνωσιν ἔχει περιειλημμένην, ὥστε εἰ μετὰ τοῦ ὄντος εὐθὺς ὁ ἀριθμὸς τῶν εἰδῶν συνυπάρχει ἀπὸ τῶν πρώτων αἰτίων καὶ

---

2. ἀπὸ] ὑπό? — 4. ἔχῃ R. — 6. ἀδιαίρετον] διαιρετὸν libri. — 15. πρῶτα S. — 16. ἑαυτὰν S., νοεῖσθαι] νοῆσαι libri. — 17. καθ' αὑτᾶς S. — 18. ἢ] om. libri, ἐν ὑποκειμένῳ] ἐν ὑποκείμενα S., ἐνυποκείμενα R., καταγορεῦνται] καταγορεύονται libri. — 18. δὲ om. R., ποιότας] Sahunius, ποιότητας R., ποιότης S. — 20. ὑπὲρ] ὑπὸ libri. — 22. ὄντως om. S.

τῶν νοητῶν ἡ ποιότης ἄρχεται· ἔπειτα εἴτις ὑποθοῖτο τὸ ἀπὸ τοῦ ἑνὸς παραχθὲν πλῆθος ἀναιρούμενον, ὅπερ οὐκ ἐκτέθειται ἔξω, οὐδὲ κεχώρισται ἀπὸ τοῦ παράγοντος, ἀλλ' ἐν αὐτῷ καὶ περὶ αὐτὸ τὸ εἶναι ἔχει. ἀναιρουμένου δὴ τοῦ πλήθους καὶ αὐτὰ τὰ εἴδη συναναιρῆται. τῆς ἰδιότητος οὖν τοῦ ποσοῦ ἀφαιρεθείσης εὐθὺς συναναιρῆται καὶ ἡ τοῦ εἴδους νόησις, ὥστε πλέον θάτερον γίνεται, ἢ ὅπερ ἐκεῖνοι βούλονται. καὶ ταῦτα μὲν ἐπειδὴ πρὸς νοεροὺς ἄνδρας καὶ περὶ τῶν νοητῶν διαταττομένους καὶ κατ' ἐκεῖνα καὶ τὰ αἰσθητὰ τάττοντας νοερῶς ἀπαντᾶν ἔδει, οὕτως ἐπεχειρήσαμεν· εἰ δὲ χρὴ τὸν Ἀριστοτέλους νοῦν ἀληθέστερον ἐξετάζειν, ἐκεῖθεν ἀρξώμεθα. τῷ σώματι καὶ τῇ τούτου διαστάσει συγγενεστέρα ἐστὶν ἡ τοῦ ποσοῦ φύσις ἤπερ ἡ τοῦ ποιοῦ, ὥστ' ἐπεὶ πλείονα τὰ κοινὰ τῷ ποσῷ ὑπάρχει πρὸς τὴν οὐσίαν, ἐλάττονα δὲ τῷ ποιῷ, εἰκότως τὸ ποσὸν δεύτερον μετὰ τὴν οὐσίαν τάττεται. αὐτίκα τὸ διαιρετὴν εἶναι, τὸ σύνθετον, τὸ τριχῇ διαστατεῖν, τὸ μεριστὴν τὴν οὐσίαν ἡ τοῦ ποσοῦ φύσις παραδηλοῖ, τὸ δὲ τοιάνδε μόνον ἡ τοῦ ποιοῦ. ἔδει τοίνυν κατὰ τὰ πλείω τὸ κοινὸν τάξαι, ἀλλ' οὐ κατὰ τὸ ἓν ὑπάρχοντα ὥστε ἐπεὶ τὴν σύνθετον καὶ σωματοειδῆ πρώτην οὐσίαν ὑπέθετο, εὐλόγως αὐτῇ τὸ ποσὸν συνέταξεν ὡς οἰκειότερον καὶ προσεχέστερον καὶ τῇ διαστάσει αὐτῆς συνυπάρχον. καὶ οὕτως δ' ἂν ἀπολογησαίμεθα. ἐπειδὴ πρὸς τὴν τοῦ λέγεσθαι χρείαν γνωριμώτερον ἡμῖν ἐστι τὸ σύνθετον, ἔσται διὰ τοῦτο καὶ τὸ τῷ συνθέτῳ διαστατὸν προσεοικὸς πρότερον τοῦ ἀδιαστάτου ποιοῦ.

2. Ἐπεὶ δὲ πάλιν ὁ Πλωτῖνος ἐνίσταται, λέγων ὡς ἀμφότερα οὐ ῥητέον ὡσαύτως ποσά· εἰ μὲν γὰρ τὸ συνεχὲς ποσόν, τὸ διωρισμένον οὐκ ἔσται· εἰ δὲ τὸ διωρισμένον, οὐκ ἔσται τὸ συνεχές, δίκαιον ἤδη σοι τί ποτέ ἐστιν ἐν ἀμφοτέροις κοινὸν εἰπεῖν.

Ὡς μὲν οὖν συντόμως ἀπαντῆσαι πρὸς τὸ ζητούμενον κοινὸν

---

4. εἴδη] εἴδη τῆς ποιότητος παραφωμοίωται R. — 14. διαιρετεῖν S. — 16. τὸ κοινὸν] κοινά? — 17. ὑπάρχον? — 18. οὐσίαν πρώτην S. — 25. ὡσαύτως] οὕτως S. — 27. κοινὸν post ἐστι S.

*ἔχουσι τὸ μέτρον ἐν ἑαυτοῖς καὶ τὸ πέρας, ὅπερ ἐν τῷ διωρισμένῳ καὶ τῷ συνεχεῖ θεωρεῖται. ἐπειδὴ δὲ εἰκός ἐστι φιλονεικοῦντά τινα πρὸς ταῦτα, τὸ ἐν τῷ μεγέθει ποσὸν τῷ μετασχεῖν ἀριθμοῦ ποσὸν ἀποφαίνεσθαι, τὸ δὲ προσλαμβάνον τὸ ποσὸν λέγεσθαι, ὅταν εἰς ἀριθμὸν ἀχθῇ δίπηχυ ἢ τρίπηχυ ἀφοριζόμενον, ἄξιον καὶ περὶ τούτου διελθεῖν. τὸ συνεχὲς καὶ τὸ διῃρημένον ἐν τῇ τοῦ παντὸς κόσμου συστάσει ἰδίαν ἔχον ἑκάτερον φύσιν θεωρεῖται· τὸ μὲν γὰρ διῃρημένον κατὰ παράθεσίν τε καὶ σωρείαν, τὸ δὲ συνεχὲς καθ' ἕνωσιν καὶ ἀλληλουχίαν νοεῖται, καὶ τὸ μὲν συνεχὲς καὶ ἡνωμένον καλεῖται μέγεθος, τὸ δὲ παρακείμενον καὶ διῃρημένον πλῆθος. τούτων δὴ οὕτω διωρισμένων κατὰ μὲν τὴν τοῦ μεγέθους οὐσίαν εἷς τε ὁ κόσμος ἐπινοεῖται καὶ λέγεται στερεὸς καὶ σφαιρικὸς καὶ συμπεφυκὼς ἑαυτῷ διατεταγμένος τε καὶ ἀλληλουχούμενος, κατὰ δὲ τὴν τοῦ πλήθους πάλιν ἰδέαν καὶ ἔννοιαν σφαῖραι καὶ ἀστέρες καὶ στοιχεῖα ζῷά τε καὶ φυτὰ ἐν αὐτῷ θεωρεῖται, καὶ τοῦ μὲν ἡνωμένου ἐπ' ἄπειρον ἐκ παντός ἐστιν ἡ τομή, ἡ δὲ αὔξησις ἐπὶ ὡρισμένον· τοῦ δὲ πλήθους κατὰ ἀντιπεπόνθησιν ἐπ' ἄπειρον μὲν ἡ αὔξησις, ἔμπαλιν δὲ ἡ τομὴ ἐπὶ ὡρισμένον, ἀμφότερα δὲ τὰ γένη ταῦτα ἐπιστήμαις ὑπάγεται, ἀριθμητικῇ μὲν τὸ πλῆθος, γεωμετρίᾳ δὲ τὸ μέγεθος, ὥστ' εἴπερ καὶ ἐν τῷ ὑφεστηκέναι καὶ ἐν τῷ διορίζεσθαι δεῖ ταῦτα ἀπ' ἀλλήλων, οὐκ ἂν εἴη τὸ μὲν πλῆθος καθ' ἑαυτὸ ποσόν, τὸ δὲ μέγεθος κατὰ συμβεβηκός, ὡς ἀπὸ τοῦ ἀριθμοῦ τὸ τοσόνδε παραδεχόμενον. κοινὸν γὰρ ἐν αὐτοῖς ὑπάρχει τὸ μετρεῖσθαι καὶ τὸ πεπερατῶσθαι κατὰ τὴν ἰδίαν ἑκάστου ὑπόστασιν.*

3. *Πρὸς μὲν δὴ τοῦτο οὕτως ἀπήντησας, δοκεῖ δέ μοι πρότερον εἶναι τὸ διῃρημένον τοῦ συνεχοῦς οὕτω τὸν λόγον ἐφοδεύοντι. τὸ συνεχὲς διαιρετόν ἐστιν εἰς ἀεὶ διαιρετά. μὴ ὄντος οὖν τοῦ διωρισμένου οὐδ' ἂν αὐτὸ*

---

2. *φιλονικοῦντα* S. — 5. *ταχθῇ* S. — 6. *διελθεῖν*] *διαλαβεῖν* S. — 9. *νοεῖται*] *θεωρεῖται* S. — 11. *διωρισμένων*] *διῃρημένων* R. — 12. *ἐπινοεῖται*] *θεωρεῖται* S. — *συμπεφυκὸς* R. — 20. *δεῖ*] *δὴ* Sahunius. — 22. *τοσόνδε*] *ποσὸν* S. — 25. *ἀπήντησας*] *ἡ ἀπάντησις* S.

εἴη. πρότερον ἄρα τὸ διωρισμένον ἐστὶ ποσὸν τοῦ συνεχοῦς. εἰ δὲ πρότερον, οὐκ ἂν εἴη κοινὸν αὐτὸ τὸ ποσόν. ἐν οἷς γὰρ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον, ἐν τούτοις οὐ δύναται εἶναι κοινὸν γένος. τὰ μὲν γὰρ εἴδη οὐ συναναιρεῖ ἄλληλα, οὐδενὸς δ' εἴδους ἀναίρεσις ἀναιρεῖ τὸ γένος. ἐφ' ὧν δὲ τὸ πρότερον καὶ ὕστερον θεωρεῖται, ἐπὶ τούτων τὸ ἕτερον τοῦ ἑτέρου ἀναιρετικὸν δείκνυται.

Ἀλλ' εἴπερ ἀληθινῶς ἐθέλοιμεν σκοπεῖν, κατ' ἄλλο μὲν αὐτοῖς ἀποδώσομεν τὸ πρότερον καὶ ὕστερον· καθόσον δὲ τοῦ αὐτοῦ γένους μετέχει, τὴν ἴσην αὐτοῖς κοινωνίαν ὑπάρχουσαν εὑρήσομεν. ὁ γὰρ λόγος εἷς καὶ ὁ αὐτὸς θεωρούμενος κατὰ τὸ γένος συμπληρῶν ἕκαστον τῶν εἰδῶν ὑπ' οὐδενὸς κωλύεται ἅμα πᾶσι παρεῖναι τοῖς δυναμένοις ἐπίσης αὐτοῦ καὶ δι' αὐτῶν μεταλαμβάνειν, ὥστε κἂν ᾖ τὰ μὲν πρότερα τὰ δὲ δεύτερα, φύσιν δ' ἔχῃ δι' ἑαυτῶν προσεχῶς ἐπικοινωνεῖν τῷ γένει, ἀμφοτέροις ἅμα πάρεσται τὸ γένος τὴν αὐτὴν μετουσίαν αὐτοῦ παρέχον πρὸς τὰ δυνάμενα αὐτοῦ μεταλαμβάνειν. οὕτω τοι καὶ τὴν κατάφασιν τῆς ἀποφάσεως προτέραν οὖσαν τῇ φύσει, κατὰ τὸ ἀποφαίνεσθαι καὶ κατὰ τὸ ἀληθεύειν καὶ ψεύδεσθαι ἀπολαμβάνοντες τῷ λογισμῷ ἐπινοοῦμεν ὡς ὑπὸ τὸ αὐτὸ γένος, ὡς κατ' ἄλλο μὲν ἐχουσῶν αὐτῶν τὸ πρότερον καὶ ὕστερον, καθόσον δὲ τοῦ αὐτοῦ γένους ἐπικοινωνοῦσι, παραδεχομένων τὸ ὡς εἴδη ἀντιδιαιρεῖσθαι. ἀλλὰ μὴν ὅτι τε Ἀριστοτέλης περὶ τούτων ὑπείληφεν οὕτως, πρότερον μὲν ἡγούμενος εἶναι τὸν ἀριθμὸν τῇ τάξει, τῇ δὲ πρὸς τὸ αὐτὸ γένος ἀναφορᾷ τὴν ἴσην διαίρεσιν τοῦ διῃρημένου καὶ συνεχοῦς ποιούμενος, δῆλον πεποίηκεν ἀπὸ τῆς ἐν αὐτοῖς τάξεως. προέταξε γὰρ τὸ διωρισμένον τοῦ συνεχοῦς ἔν τε τῇ πρώτῃ διαιρέσει καὶ ἐν τῇ διαριθμήσει τῶν καθέκαστα, τὰ ὑπὸ τὸ διωρισμένον πρότερα ἀπολογιζόμενος τῶν ὑπὸ τὸ μέγεθος. διότι γὰρ τὸ ἐν τῷ μεγέθει ποσὸν δοκοῦμεν καταλαμβάνειν διὰ τοῦ ἀριθμοῦ, διὰ τοῦτο ὁ ἀριθμὸς προτέτακται, ὥσπερ

---

1. ποσόν ἐστι S. — 3. οὐ δύναται] οὐκ ἂν εἴη S. — 8. τὸ om. R. — 10. ὁ om. S. — 13. δεύτερα] ὕστερα S. — 21. τε] καί? — 25. τε om. S. — ἀριθμήσει S.

διότι τὴν ἀπόφασιν γνωρίζομεν διὰ τῆς καταφάσεως, διὰ τοῦτο κἀκείνη προτέτακται, κατὰ μέντοι τὴν ἴσην διαίρεσιν οὐκ ἀποστατεῖ τοῦ κοινοῦ γένους. οὕτω δὴ καὶ ἐνταῦθα τῷ συντελεῖν εἰς τὸν λόγον τοῦ γένους καὶ τῷ πρὸς τοῦτο ἐξίσου παρασκευάζεσθαι ἀντιδιῄρηκεν αὐτὰ πρὸς ἄλληλα. πρὸς δὲ τούτοις ἄλλο τὸ διῃρῆσθαι, ἄλλο τὸ διῃρημένον εἶναι, ὥστε εἰ τὸ δυνάμει ἐν τῷ ἐνεργείᾳ περιέχεται, δύναται γὰρ τὸ συνεχὲς διαιρεῖσθαι, οὐκ ἂν καλῶς ὡς ἤδη ὂν τὸ διῃρημένον λαμβάνοιμεν· μᾶλλον γὰρ τὸ δυνάμει ὕστερον τοῦ ἐνεργείᾳ.

4. Κοινῶς μὲν δὴ περὶ τῆς διαιρέσεως καὶ τοῦ παντὸς ποσοῦ τοσαῦτα ἡμῖν εἰρήσθω, κατ' ἰδίαν δὲ περὶ ἑκάστου τῶν ὑπὸ τὸ ποσὸν εἰδῶν ὅσα Πλωτῖνος ἀπορεῖ προσθεῖναι βούλομαι. εὐθὺς γὰρ διαιρεῖ περὶ τοῦ ἀριθμοῦ, καὶ φησὶν ἄλλην μὲν αὐτοῦ τὴν οὐσίαν εἶναι, ἄλλην δὲ καθ' ἣν τὸ τοσόνδε αὐτῷ ὑπάρχει. ἡ μὲν γὰρ καθ' ἑαυτήν ἐστιν, ἣ καὶ παραλέλειπται ὑπὸ Ἀριστοτέλους, ὡς ἐκεῖνος βούλεται, ἡ δὲ δηλοῦται ὅταν ποσὸν τὸν ἀριθμὸν εἶναι λέγωμεν.

Εἰ μὲν οὖν κατὰ τὰς Πλωτίνου διατάξεις καὶ τὰς Πλάτωνος ὑποθέσεις τὰς κατηγορίας ἀπευθύνομεν, δοκεῖ τινα λόγον ἔχειν τὸ λεγόμενον· εἰ δ' ἐθέλοιμεν Ἀριστοτελεῖ κατακολουθεῖν, οὐδαμῶς τὸν ἀριθμὸν τὸν θεωρούμενον κατὰ ποσὸν διχῇ διαιρήσομεν. οὐ γὰρ οἴεται Ἀριστοτέλης ἄλλο μὲν ἔχειν τὸν ἀριθμὸν τὸ εἶναι, ἄλλο δὲ τὸ τοσόνδε εἶναι. ἀλλὰ φησὶ τῶν μὲν συνθέτων τοῦτο ἴδιον εἶναι καὶ τῶν ἐνύλων καὶ τῶν ἐν μέρει ἐχόντων τὸ εἶδος· ὅσα δὲ ἄϋλά ἐστιν εἴδη καὶ ἀσύνθετα, ταῦτα ἀποδείκνυσιν ἐν πάσαις αὐτοῦ ταῖς ἀκροάσεσι ταὐτὸν ἔχοντα τό τε εἶναι κατὰ τὴν οὐσίαν καὶ τὸ ἐν τοῖς δεδεγμένοις αὐτὰ εἶναι καὶ φαίνεσθαι. ἐὰν οὖν χωρίζων ὁ Πλωτῖνος τοὺς νοητοὺς καὶ τοὺς μετέχοντας αὐτῶν ἀριθμοὺς τὴν ἰδιότητα ἑκατέρων χωρὶς ἀφορίζηται, ἰδίας ὑποθέσεις γυμνάζει, ἡμεῖς δὲ ὑπομιμνήσκομεν ἑαυτούς, ὡς αὐταῖς ταῖς οὐσίαις τῶν ὄντων ὑπάρχουσι κατ' Ἀριστοτέλην οἱ ἀριθμοὶ οὔτε πρότεροι οὔτε ὕστεροι αὐτῶν, ἀλλ' ἅμα

---

1. τῆς om. S. — 3. τὸ συντελεῖν S. — 7. γὰρ] δὲ S. — 9. δὴ] οὖν S. — 14. ὑπὸ] ὑπὸ τοῦ S. — 17. ἀπευθύνοιμεν? — 22. ἐν] οὐ S.

σὺν αὐταῖς ὄντες. οὐδενὸς οὖν ἀπολείπονται κατὰ τὸν ἄνδρα τῶν ὁπωσοῦν δυναμένων αὐτῶν μετέχειν, ἀλλὰ πᾶσι μὲν πάρεισι κατὰ τὴν οἰκείαν αὐτῶν ἀμέριστον οὐσίαν, ἐξαλλάττονται δὲ αὖθις διὰ τὴν ἑτερότητα τῶν ὑποδεχομένων, ὥστε ἅμα καὶ ἀριθμοῖς καὶ τοσοῖσδε εἶναι μετὰ τῶν ἀριθμουμένων συνυπάρχει.

5. Ἔχεται δὲ τοῦ αὐτοῦ ἀπορήματος ὁ Πλωτῖνος καὶ πάλιν ζητεῖ, πότερον ἐνυπάρχει οὗτος ὁ ἀριθμὸς τοῖς ἀριθμουμένοις, ἢ χωρὶς αὐτῶν μετρεῖ, ὥσπερ ὁ κανών. εἰ μὲν γὰρ αὐτὸς καθ' ἑαυτὸν ὑφέστηκε, μέτρον μὲν ἔσται, οὐκέτι δὲ ποσόν· εἰ δὲ ἐνυπάρχει, καὶ αὐτὸς ὑπ' ἄλλου μετρηθήσεται.

Ἀλλ' ὅπερ ἐξ ἀρχῆς εἴπομεν, τοῦτο καὶ νῦν εἰπεῖν ἄξιον. παρεῖναι μὲν γὰρ τὸν ἀριθμὸν τοῖς ἀριθμουμένοις πράγμασι, καὶ συνυπάρχειν ἀποφαινόμεθα, οὐ μέντοι ἐν αὐτοῖς ἔχειν τὴν ὑπόστασιν ὡς ἐν συμβεβηκότος τάξει θεωρούμενον. ὥσπερ γὰρ τὰ ἔνυλα εἴδη ἔχει μὲν ἰδίαν ἕκαστον οὐσίαν καὶ ὑπόστασιν, σύνεστι δὲ τῇ ὕλῃ, οὕτω καὶ οἱ ἀριθμοὶ κατὰ τὴν ἰδίαν οὐσίαν ὑφεστηκότες μετὰ τῶν πραγμάτων εἰσὶν ὧν ἀφορίζουσι, καὶ οἷς τὸ οἰκεῖον μέτρον ἐπιτιθέασι συνόντες τοῖς ἀριθμουμένοις ὡς ἀριθμοῦντες· ὥσπερ τὰ εἰδοποιοῦντα τοῖς εἰδοποιουμένοις συντάττεται πρῶτον ὡς ἐν ἑαυτοῖς, διάστασιν δὲ κατὰ τὸ ὑποκείμενον ἀπεργάζεται, οὕτω καὶ τὰ ἀριθμοῦντα τοῖς ἀριθμητοῖς πρὸς τὸ οἰκεῖον μέτρον ἕκαστα ἀναφέρει μένοντα ὅπερ ἐστὶν ἑαυτῶν καὶ μηδὲν ὑπὸ τῶν μετρουμένων πάσχοντα· ποιήσωμεν δὲ σαφέστερον τὸ λεγόμενον διὰ παραδείγματος. τὸ εἶδος τοῦ ἀνδριάντος ἔχει μὲν καθ' ἑαυτὸ ἴδιον λόγον, θεωρεῖται δὲ μετὰ τῆς ὕλης. καὶ ὁ ἀριθμὸς οὖν ἥνωται μετὰ τῶν ἀριθμητῶν ἔχων τὴν ἰδίαν ὑπόστασιν.

6. Ἀλλὰ τὸ ποσὸν φησὶν οὐκ ἂν εἴη ποσότης.

Ἀλλ' εἰ μὲν εἶχεν ἄλλο τι δεῖξαι τὴν ποσότητα παρὰ τὸ ποσόν, ὀρθῶς ταῦτα ἀπεφαίνετο· ἐπεὶ δὲ ἐξ ἀρχῆς διαγωνιζόμεθα, ὅτι οὐδὲν

---

1. κατὰ] καὶκατὰ S. — 5. συναριθμουμένων S. — 6. αὐτοῦ om. R. — 19. συνάπτεται S. — 24. ἑαυτὸν S. — 29. ὀρθῶς] adde ἄν.

*ἄλλο ἐστὶν ἀρχηγὸν τῆς ποσότητος ἢ τὸ μέτρον, κοινὸν δὲ τοῦτο καὶ κατὰ ποσότητος καὶ κατὰ ποσοῦ, οὐκ ἂν οὐδὲ τὴν ποσότητα ποσὸν εἶναι εὐλόγως ἄν τις παραιτήσαιτο, γνοίη δ' ἄν τις τὸ αὐτὸ καὶ ἀπὸ τοῦ μηδεμίαν κατηγορίαν ἄλλην οἷόν τε εἶναι ὑποθεῖναι τῇ τοῦ ποσοῦ φύσει, ἀρχὴν δὲ αὐτὴν ἰδίαν θεωρεῖσθαι μηδενὶ τῶν ἄλλων γενῶν ἐπικοινωνοῦσαν, ὥστε καὶ ὁ ἀριθμός, εἴτε καθ' ἑαυτὸν εἴη, εἴτε ἐν τοῖς μετέχουσιν, εἴτε συνυπάρχων, εἴτε καὶ ἰδίαν φύσιν ἔχων ἐν τῷ συνυφεστηκέναι, εἴτε κατὰ τὸ ἀριθμεῖν, εἴτε κατὰ τὸ ἀριθμεῖσθαι ὑπάρχων, πανταχοῦ ἂν οὗτος τοῦ ποσοῦ εἴη.*

7. *Οὕτω μὲν τὰς ἀπορίας Πλωτίνου περὶ τοῦ ἀριθμοῦ διελύσαμεν. ἀλλὰ δὴ μεταβῶμεν ἐπὶ τὸν λόγον ἑξῆς καὶ ὅσα διαπορεῖ σκεψώμεθα. λέγει τοίνυν, ὡς ὁ λόγος ἰδίαν ἔχων ὑπόστασιν τοσόσδε ἐστί, καὶ ταύτῃ ποσὸς ὡς συμβεβηκὸς ἔχων τὸ ποσόν· καθ' ὃ μέντοι λόγος σημαντικός ἐστιν ὕλην ἔχων τὸν ἀέρα, κατὰ δὲ τὴν τούτου πληγὴν ὑφεστηκώς· εἴτε οὖν πληγὴ ὁ λόγος ὁ ἐν τῇ φωνῇ, εἴτε οὐ ψιλὴ πληγὴ ἀλλὰ τύπωσις τοῦ ἀέρος, ὥσπερ μορφοῦσα αὐτόν, κατ' ἀμφότερα ποίησις ἂν εἴη σημαντική, καὶ ἔσται ἢ ἐν τῷ ποιεῖν ἢ ἐν τῷ πάσχειν ἢ καὶ ἐν ἀμφοτέροις τῷ τε ποιεῖν καὶ τῷ πάσχειν ὁ λόγος ὁ ἐν τῇ φωνῇ, ἀλλ' οὐχὶ ποσόν. τί δὴ πρὸς ταῦτα ἂν εἴποιμεν;*

*Ὅτι οὐχ ἁπλῶς πληγὴ ἀέρος ἐστὶν ἡ φωνή· πλήττει γὰρ τὸν ἀέρα καὶ δάκτυλος παραγόμενος, καὶ οὐδέπω ποιεῖ φωνήν, ἀλλ' ἡ ποσὴ πληγὴ καὶ σφοδρὰ καὶ τοσήδε, ὥστε ἀκουστὴ γενέσθαι, καὶ ἡ τῷ μέτρῳ τῆς ἀκοῆς ἐξισουμένη καὶ τὸ ὑπερβάλλον καὶ ἐλλεῖπον καθ' ἑαυτὴν ἔχουσα. κατὰ τὸ μέγεθος οὖν τῆς πληγῆς καὶ τὸ ποσὸν μέτρον τῆς φωνῆς τιθέμενος ποσὴν αὐτὴν εἰκότως εἶναι ἀποφαίνεται.*

8. *Ἀλλ' ἐπειδὴ ἐν χρόνῳ φησὶν ὁ Πλωτῖνος λέγεται ὁ λόγος ὄντι*

---

4. *εἶναι* om. S. — 6. *καὶ* om. S. — 7. *εἴτε καὶ ἰδίαν . . . ὑπάρχων* om. S. — 10. *τοῦ* om. R. — 13. *τὸ* om. R. — 16. *πληγὴ ψιλὴ* S. — 18. *τὸ πάσχειν* S. — 19. *ἂν εἴποιμεν*] *ἀντείποιμεν* libri. — 21. *παραγόμενος*] *παραγινόμενος* S. — *ἀλλ' ὑποσὴ* sic S. — 24. *οὖν* om. S. — 25. *εἶναι* om. S.

ποσῷ, καὶ αὐτὸς ποσὸν νομίζεται. ἔσται οὖν ἐν τῷ χρόνῳ τὸ ποσὸν καὶ διὰ τὸν χρόνον.

Ἀλλὰ πρὸς τοῦτό φαμεν, ὡς αὐτῆς τῆς φωνῆς ἐστι σμικρότης καὶ μέγεθος κατὰ τὴν ἑαυτῆς φύσιν ἢ διὰ τὴν τῆς ἀρτηρίας σμικρότητα ἢ τὸ μέγεθος. ὅταν μὲν γὰρ τὸ φώνημα διαιρῆται καὶ εὐρύνηται, πλῆθος ἀναπέμπει, καθὸ δὲ στενοῦται, ὀλιγότητα. ἡ μὲν οὖν οὖσα φύσει βραχεῖα ἐν βραχεῖ χρόνῳ καταλλήλως λέγεται. ἡ δὲ μακρὰ ἐν μακρῷ ὡς ἂν προηγούμενον ἔχοντος τοῦ λόγου τὸ ἐν τῇ φωνῇ ποσὸν ἐν ἑαυτῷ πρὸ τοῦ ἐν τῷ χρόνῳ ποσοῦ. κἂν γὰρ μὴ λέγω, ἀλλ' ὁ γεγραμμένος λόγος ἔχει τῇ φύσει μακρὰν καὶ βραχεῖαν συλλαβήν. κἀκεῖνο δὲ δήπου ἐπιστάμεθα, ὅτι καὶ τὴν βραχεῖαν ἐν μακρῷ χρόνῳ προενέγκασθαι δυνατόν ἐστι καὶ τὴν μακρὰν ἐν βραχεῖ. ὁ γὰρ μετρικὸς καὶ τὸ μέτρον καὶ τὸν ῥυθμὸν μεταβάλλει, ἤδη δὲ καὶ τὰ στοιχεῖα, οἷον τὸ ξηρὸν ξερόν, καὶ τὸν Διόνυσον Διώνυσον. εἰ δὲ πέφηνε διεστηκὸς ἐπὶ τούτων τὸ φύσει μακρὸν καὶ τὸ τῷ χρόνῳ, οὐ τῷ βραχεῖ χρόνῳ ἡ συλλαβὴ λέγεται βραχεῖα, ἀλλὰ τῷ βραχεῖα εἶναι ἐν βραχεῖ χρόνῳ λέγεται.

9. Τί δ' ἂν εἴποιμεν πάλιν πρὸς τὴν ἔνστασιν τοῦ ἀνδρὸς τὴν μὴ βουλομένην ἐξαρκεῖν τὸ μετρεῖσθαι πρὸς τὸ εἶναι ποσόν· καὶ γὰρ ξύλον φησὶ μετρεῖται πήχει, καὶ οὐκ ἄν τις εἴποι αὐτὸ ποσόν, διότι μετρεῖται, ἀλλ' ὅτι ἐστὶ μέγεθος, καὶ κατ' αὐτὸ μὲν τὸ ποσὸν τὸ συμβεβηκὸς τῷ ξύλῳ μετρεῖται ὑπὸ τοῦ ποσοῦ τοῦ συμβεβηκότος τῷ πηχυαίῳ ξύλῳ, τὸ δὲ ξύλον ὑπὸ τοῦ ξύλου οὐ μετρεῖται. καὶ ἐπὶ τοῦ λόγου τοίνυν καθὸ μὲν λόγος οὐ μετρεῖται, καθὸ δ' ἐν χρόνῳ ἐστίν, ὥστε ὁ χρόνος ἂν εἴη ὁ μετρῶν τὸν χρόνον ὁ ἐλάττων τὸν μείζονα.

Ἀλλὰ καὶ πρὸς ταῦτα ταῖς αὐταῖς ἀπαντήσεσι χρησόμεθα. εἰ γὰρ σύμφυτον ἔχει μέγεθος ἡ φωνὴ μεθ' ἑαυτῆς, καθὸ καὶ τὰ διαστήματα αὐτῆς οἱ μουσικοὶ εἰώθασι ποιεῖν, ἔσται καθ' αὐτὴν ποσόν, ἀλλ' οὐ κατὰ συμβεβηκός. πᾶν γὰρ τὸ μετρητὸν ἢ τὸ μετροῦν ἐστι

---

1. ποσῷ S. — 4. μικρότητα R. — 5. εὐρύνεται S. — 10. τῇ] τὴν S. — 11. βραχεῖαν] βραχεῖαν συλλαβὴν S. — 16. ἀλλὰ τὸ S. — 19. βουλομένου R.

*κατὰ φύσιν ποσόν, καὶ αὕτη τοίνυν ὡς μετρουμένη ὑπὸ τοῦ χρόνου ποσὸν ἂν εἴη.*

**10.** *Πάλιν ὁ αὐτὸς ἀνὴρ ἀπορεῖ λέγων, ὡς ἡ πρᾶξις κατὰ τὴν ἀναφορὰν τὴν ἐπὶ τὸν χρόνον μεγάλη λέγεται ἢ μικρά, οὕτω καὶ ὁ λόγος τῷ διαστήματι μετρούμενος κατὰ συμβεβηκὸς ἂν εἴη ποσός.*

*Ἢ καὶ πρὸς τοῦτο ῥητέον, ὅτι τῶν στοιχείων τὰ μέν ἐστι φύσει μακρά, τὰ δὲ φύσει βραχέα. φύσει ἄρα ἐνυπάρξει τῇ φωνῇ τὸ μέγεθος καὶ ἡ μικρότης.*

---

2. εἴη] reliqua desunt in S.

# ADNOTATIONES.

Pag. 5, 16 *οὐχ οὕτω τετύφωμαι*] Demosth. de cor. p. 229 §. 11.

Pag. 6, 2 *τῆς διανοίας*] *ταῖς διανοίαις* nescio unde Brandis p. 40, 3.

Pag. 11, 2 §. 3 *μόνα δὲ σημαινόμενα οἱ ἀρχαῖοι λέγουσι τὰ νοήματα.* Simplicius fol. 10 §. 3 *ὁ δὲ Βοηθὸς μόνα λεγόμενα καὶ σημαινόμενα τὰς νοήσεις εἶναί φησι παρὰ τοῖς ἀρχαίοις. οὐ γὰρ εἶναι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐν τοῖς πράγμασιν, ἀλλ' ἐν διανοίαις καὶ ταῖς τοῦ νοῦ διεξόδοις ὡς καὶ αὐτὸς Ἀριστοτέλης ἐν τῷ* [add. *τρίτῳ*] *περὶ ψυχῆς διδάσκει.* unde in nostro *λεγόμενα καὶ* excidisse apparet.

Pag. 12, 23 §. 4 *τὸ βλίτρι*] vocabulum Stoicis atque inde logicis solemne *βλίτυρι*, ut S exhibet, Simplic. fol. 6 §. 10, 31 §. 5.

Pag. 19, 11, §. 5 Nicostrati *ἀπορία* a Porphyrio quem noster secutus esse videtur discussa, vid. Simplicius fol. 5 §. 1.

Pag. 21, 9 §. 9 incerti ap. Simplicium fol. 6 §. 6.

Pag. 21, 24 §. 10 ibid. §. 8.

Pag. 22, 16 §. 12 Simplicius ibidem §. 9 *τὸ δὲ κοινὸν πάλιν καὶ αὐτὸ πολλαχῶς λέγεται, ἢ γὰρ τὸ εἰς μέρη διαιρετόν, ὡς ἡ κληρουχουμένη γῆ, ἢ τὸ ἀδιαιρέτως εἰς κοινὴν μὲν χρῆσιν προκείμενον, οὐχ ἅμα δέ, ὡς ὁ δοῦλος ἢ ὁ ἵππος ὁ κοινός, ἢ τὸ ἐν προκαταλήψει μὲν ἰδιούμενον, αὖθις δὲ εἰς τὸ κοινὸν ἀναπεμπόμενον ὡς τὸ θέατρον, ἢ τὸ ἅμα ἀδιαιρέτως εἰς χρῆσιν πολλῶν ἐρχόμενον ὥσπερ ἡ φωνή.* unde nostrum locum correximus.

Pag. 23, 9 §. 13 Nicostrati *ἀπορία* apud Simplicium fol. 6 §. 10.

Pag. 24, 27 §. 16 Simplic. fol. 7 §. 13—14.

Pag. 25, 3 §. 17 Nicostrati et Attici *ἀπορία* apud Simplic. §. 15, ubi vix recte sic legitur: *τὰ ἄρα ὁμώνυμα συνώνυμά ἐστιν. ἔστι δὲ καὶ τὰ συνώνυμα ὁμώνυμα· πάντα ἄρα τὰ τὸ αὐτὸ ὄνομα ἔχοντα συνώνυμά ἐστιν.* Praetulerim vero *πάντα* et in nostro pro *ταῦτα*. Porphyrius solvit hanc quaestionem.

Pag. 27, 17 § 18 Nicostrati *ἀπορία* a Porphyrio soluta ap. Simpl. fol. 7 §. 14

unde meliora docemur; nam ex Dexippo Andronicum et Boethum verba *ὁ δὲ λόγος τῆς οὐσίας ἕτερος* in codicibus non legisse conjicias. Simplicius haec dicit: *πρὸς γὰρ ταύτην τὴν ἀπορίαν ἀπαντῶν ὁ Πορφύριος πρῶτον μὲν φησὶ μηδὲ ἐν πᾶσι τοῦτο γεγράφθαι τοῖς ἀντιγράφοις, μήτε γὰρ Βοηθὸν εἰδέναι, ὥς φησι, δεικνύναι τὸν Ἀριστοτέλην τίνα ἐστὶ τὰ ὁμώνυμα λέγοντα· ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν. ὁ δὲ κατὰ τοὔνομα λόγος ἕτερος. καὶ ἐξηγούμενος δὲ ὁ Βοηθὸς καθ' ἑκάστην λέξιν τὸ τῆς οὐσίας παραλέλοιπεν, ὡς οὐδὲ γεγραμμένον, καὶ ὁ Ἀνδρόνικος δὲ παραφράζων τὸ βιβλίον φησί· τῶν ἄνευ συμπλοκῆς λεγομένων ὁμώνυμα μὲν λέγεται, ὧν ὄνομα μόνον ταὐτόν, ὁ δὲ κατὰ τοὔνομα λόγος ἕτερος.* at haec Andronici paraphrasis nullius est fere momenti ad lectionem disceptandam, ut solius Boethi restet autoritas.

Pag. 26, 11 §. 19 Simplicius fol. 8 §. 1.

Pag. 27, 11 §. 21 Solvit Boethus ap. Simplic. fol. 12 §. 12.

Pag. 28, 7 §. 22 Lucii est *ἀπορία* ap. Simpl. l. l. §. 9 a Porphyrio soluta.

Pag. 29, 15 §. 23 Simplicius fol. 12 §. 11.

Pag. 31, 9 §. 26—7 Incerti autoris quaestio ap. Simpl. fol. 13 §. 17—9 a Porphyrio et Jamblicho soluta.

Pag. 32, 16 §. 28 vid. Simplic. fol. 14 §. 26; intelligitur *Βοηθὸς* qui verba transposuit.

Pag. 37, 13 §. 35 *πλεονασμὸν*] Simplicius fol. 15 §. 33.

Pag. 39, 1 §. 37 *πρὸς τοὺς ἐλλείπειν αὐτὴν ἀποφαινομένους*] Nicostratum ap. Simpl. l. l. §. 34. — v. 8 *τοὺς συνδέσμους*] Lucius apud eundem. — v. 22 *τὰ ἄρθρα*] ibidem.

Pag. 40, 5 *ὑπομνήμασιν*] Simplicius ibidem.

Pag. 41, 4 §. 38 *πρὸς δὲ τοὺς ἄλλα ἀντ' ἄλλων*] Simplicius fol. 16 §. 35. — v. 21 *Στωικοὶ*] ibidem §. 36.

## LIB. II.

Pag. 47, §. 1 conf. Simplic. Fol. 15 §. 31—2 et 17 A. ex Jamblicho et Hermino.

Pag. 48, §. 2 praeter Plotinum Lucius et Nicostratus apud Simplic. fol. 17 §. 46. fol. 18, §. 2.

Pag. 49, 22 §. 3 *δύο*] tres Aristoteles, atque noster ipse §. 6 p. 52, 23 *τριχῶς δὲ τῆς οὐσίας λεγομένης ὥσπερ εἰρήκαμεν*, sed illud etiam Simplicius fol. 19 b. fine.

Pag. 51, 7 §. 4 *Πλωτῖνος*] p. 566 seq. (p. 1045 Cr.)

Pag. 51, 26 §. 5 Plotinus p. 617 (1132) seq.

Pag. 53, 9 §. 8 Simplic. fol. 21 §. 10.

Pag. 54, 9 §. 10 Simplic. fol. 21 §. 11.

Pag. 54 §. 11—12 ibidem §. 12.

Pag. 55 §. 13 ibidem §. 13—5.

Pag. 56 §. 15 Simplicius fol. 23 §. 26.

Pag. 56—7 §. 17—8 Simplicius fol. 22 §. 20—21.

Pag. 57 §. 19 ibid. §. 16.

Pag. 57 §. 20—21 Simplic. fol. 24 §. 39. — p. 58, 3. *δ᾽ ἂν τις εἶποι*] *Βοηθὸς* ibid. — v. 7. *λέγεται κατὰ παντὸς*] *ἂν λέγηται κατὰ πάντων* Simpl.

Pag. 60 §. 22 Simplic. fol. 25 §. 43.

Pag. 61 §. 23 Simpl. fol. 26 §. 47 ubi (p. 62, 4) *τάδε* pro *τόδε* et (p. 62, 5) *καταχθέντα* pro *κατακαταχθέντα*. — p. 62, 12 *φήσει ὑπομνήσομεν*] *φησὶν ἀναμνήσομεν* Simpl.

Pag. 62—3 §. 24—5 Simplic. fol. 27 §. 50—2 solvit Jamblichus.

Pag. 63 §. 27 Simpl. fol. 27 §. 52.

Pag. 64 §. 28 ibidem §. 54.

Pag. 65 §. 29 ibidem fol. 28 §. 56, ubi recte *πρὸ τούτων* legitur omissis *καὶ ἧττον*.

Pag. 65 §. 30 ibidem §. 59.

Pag. 66 §. 31 ibid. §. 59 ubi integrior exstat locus *ἀλλὰ πῶς ἡ ὕλη οὐσία μᾶλλόν τις οὖσα καὶ αὐτὴ τὸ μᾶλλον καὶ τὸ ἧττον σημαίνειν λέγεται, καὶ μικρὸν καὶ μέγα, καὶ τἀναντία ὅλως φαντάζεσθαι καίτοι οὐσία τις οὖσα, καὶ ἡ ὕλη ὥσπερ τὸ εἶδος;* et in fine pro *παρέχεται* legitur *ἥ γε πρώτη ὕλη παραδέχεται*.

Pag. 67 §. 34—5 ibidem fol. 28 §. 60.

Pag. 69 §. 37 ibidem §. 63 ubi *εἰ δὴ μὴ* pro *ἔτι οὐδέ*, deinde *ἐξίσταται*.

Pag. 70 §. 38 ibidem §. 64 ubi *ἐν αὐτῇ* pro *ἐφ᾽ ἑαυτῇ*. item *ἐξαρκεῖ* et *διὰ τοῦτο οὐχ ὑποδέχεται*. pro *ὅτε ἐστὶν* ibi *ὅτε περίεστιν*.

Pag. 71 §. 39 ibidem.

Pag. 71 §. 40 ibidem §. 65.

Pag. 72 §. 41 ibidem fol. 29 §. 69.

Pag. 73 §. 42 ibidem §. 70 *ἐπερείσαντες*] Plotinus p. 568 (1047).

## LIB. III.

Pag. 78 §. 1 Simplicius fol. 31 §. 1—2 ubi in Archytae verbis *τέτακται οὐσία διὰ τὸ μόναν*, deinde *κατὰ ταύτας ἢ ταύτῃ ἐν* conf. idem fol. 54 §. 1. —

Pag. 79, 5 *ἀμέριστόν ἐστι καὶ ἀδιαίρετον*] desideratur *ἀδιάστατον* quod et infra exstat et apud Simplicium legitur.

Pag. 80 §. 2 conf. Plotinus p. 568 A. (1048) Simplic. fol. 32 §. 11. — 81, 1 *τὸ μέτρον ἑαυτοῖς καὶ τὸ πέρας*] ipse monuit Plotinus p. 628 (1150).

Pag. 81 §. 3 Simplic. fol. 32 §. 10 ubi melius *διωρισμένον*.

Pag. 83 §. 4 ibid. fol. 33 §. 15.

Pag. 84 §. 5 Plotinus p. 569 (1049), Simpl. l. c. §. 17 solvit Jamblichus.

Pag. 84 §. 6 vid. Plotinus p. 570 (1051).

Pag. 85 §. 7 Plotinus l. c. Simplic. fol. 33 §. 18, sunt Jamblichi verba.

Pag. 85 §. 8 Simplic. ibidem §. 19, solvit Porphyrius.

Pag. 86 §. 9 cf. Simplic. §. 21—22.

Pag. 87 §. 11 argumenta initio libri tertii indicata conveniunt cum his Simplicii locis:

| | | | | | | | |
|---|---|---|---|---|---|---|---|
| Dexippi | §. 11 | cum | Simplic. | fol. | 33 | §. 23. | |
| „ | §. 13 | „ | „ | „ | — | §. 24. | |
| „ | §. 14 | „ | „ | „ | — | §. 25, | Plotini p. 568 (1048). |
| „ | §. 15 | „ | „ | „ | 34 | §. 26. | |
| „ | §. 18 | „ | „ | „ | — | §. 29. | |
| „ | §. 19 | „ | „ | „ | — | §. 30. | |
| „ | §. 20 | „ | „ | „ | — | §. 33. | |
| „ | §. 23 | „ | „ | „ | — | §. 39. | |
| „ | §. 26 | „ | „ | „ | 36 | §. 45. | |
| „ | §. 27 | „ | „ | „ | — | §. 41. | |
| „ | §. 28 | „ | „ | „ | — | §. 43. | |
| „ | §. 33 | „ | „ | „ | — | §. 51. | |
| „ | §. 34 | „ | „ | „ | — | §. 56. | |
| „ | §. 37 | „ | „ | „ | — | §. 57. | |
| „ | §. 38 | „ | „ | „ | — | §. 58. | |
| „ | §. 39 | „ | „ | „ | — | §. 59. | |

Ἀκατάληπτα 50, 15.
Ἀλέξανδρος 6, 17. 40, 23. 44, 3. 55, 14.
ἀληθεύειν 73, 10. 82, 17. ἀληθεύεται ὁ λόγος 42, 6. 57, 24. 61, 11.
ἐὰν . . ἀλλ' ἐροῦμεν 58, 15.
ἀλληλουχίαν 48, 5. 81, 9.
ἀλληλουχούμενος 81, 13.
ἀμυδρότερον 66, 14.
ἀμφιβάλλειν 66, 27. 67, 19.
ἀναβησόμεθα 42, 22.
ἀνεχαίτισεν 14, 18.
ἀνηγμένην ἐπιτηδειότητα πρὸς τὰ καλὰ 4, 18.
ἀνεδίδαξε 40, 6.
Ἀνδρόνικος 25, 25.
ἀνθρωπότης 65, 17.
ἀνθυποφέρων 68, 7.
ἀντιδιαιρεῖσθαι 82, 20. ἀντιδιῄρηκεν 83, 4.
ἄντικρυς διαρρήδην 11, 22.
ἀντιπεπόνθησις 81, 17.
ἀνυποδετεῖν 40, 9.
ἀξίωμα 59, 2.
ἀπαντᾶν 4, 12. 30, 23. 31, 13. 61, 9. 80, 9, 28.
ἀπάντησις 50, 27. 86, 26.
ἀπόβλητον 61, 10.
ἀπεγέννησε 18, 11.
ἀπευθύνειν 83, 17.
ἀποδιαλαμβάνων 72, 4.
ἄποιος ὕλη 28, 17.
ἀπολογίζεσθαι 82, 26.
ἄποσον 28, 10.
ἀποστατεῖν 83, 2.
ἀποφαινόμενος 66, 21.
ἀπροσδεῶς 23, 9.
εἰ δ' ἄρα 18, 22. 28, 5. 73, 15. ἀλλ' εἴπερ ἄρα 39, 17.
Ἀριστοτέλης 11, 7. 49, 18. 55, 16. 71, 5, 11. 82, 21. 83, 14, 20. ὑπὲρ Ἀριστοτέλους 49, 20. 79, 21. τὸν Ἀριστοτέλους νοῦν 80, 9. Ἀριστοτέλει 51, 1. 83, 18. Ἀριστοτέλη 6, 8. scrib. Ἀριστοτέλην ut 41, 5. 43, 11. 49, 22. 72, 14. 78, 18. 83, 29. ἐν τῷ τρίτῳ τῶν περὶ ψυχῆς 11, 7. ἐν τοῖς φυσικοῖς 20, 25. 45, 2. 54, 14. 63, 15, 18, 20. 72, 10, 15. τοπικοῖς 36, 1. ὑπομνήμασι 40, 5. ἐν τῇ μετὰ τὰ φυσικὰ πραγματείᾳ 49, 21. 51, 13. 55, 15. τῷ λ. 50, 1.
ἀριστοτέλειον δόξαν 65, 20.
ἀριστοτελικώτερον 63, 23.
Ἀριστοτελικοῖς 38, 5.

ἠρκέσθη 53, 22.
ἀρχετύπων 18, 27.
Ἀρχύτας 1, 10. 20, 3. 79, 13—19.
ἀσχέτου ὕλης 62, 13.
ἀτὰρ δὴ 41, 1.
αὐτοτελῶς 7, 23.
βελόνη 8, 6, 7.
βλίτρι (βλίτυρι) 12, 23.
Βοηθὸς 25, 25. 55, 14.
γενικώτατος 13, 21, 29.
διαίτησον τοῖς ἠπορημένοις 5, 1.
διακρούεσθαι 49, 6.
διαμφισβητοῦντες 54, 23.
διανόησις 12, 7.
διάννσις 12, 6.
διαπραγματεύσοιο 41, 6.
διαρίθμησις 82, 25.
διέξοδος τῶν λόγων 49, 7, 9.
Διιφίλη 5, 4.
δικαιολογούμενοι 39, 4. 41, 5.
Διώνυσος 86, 14.
δογματικώτερον 50, 25.
ἐγκέκλιται 3, 9. 42, 24.
ἐδάφιον 35, 28. 47, 7.
εἰδοποιεῖ 58, 11. 84, 18. εἰδοποιεῖσθαι 13, 2. 33, 20—21. 49, 26. 84, 19. εἰδοπεποίηται 32, 24.
εἰδοποιοῖς διαφοραῖς 34, 24.
ἐκδεχόμεθα 61, 2.
ἑκτὰ 61, 18, 20.
ἐκτέτηκεν 5, 6.
ἐλλειπῶς libri 25, 17.
ἐμπερίληψιν 60, 2.
ἐμφανταζομένη 72, 22.
ἐνδεῖ 19, 18.
ἐνέργημα 10, 12, 13.
ἐνσυνυπάρχει 75, 12.
ἐντυγχάνομεν 58, 17.
ἐντελέχεια 7, 2.
ἐνυπογραφὴν 2, 10.
ἡνωμένον 81, 9, 15.
ἐξήρκει 70, 16.
ἐξίστασθαι 70, 5, 23.
ἔοικα παρήσειν 6, 17.
ἐπερείσαντες 73, 20.
εἰς ἐπιβολὴν 52, 14.
ἐπικοινωνεῖν 82, 20. 85, 6.
ἐπινοεῖται ὑφίστασθαι 53, 5.
ἐπίσης 82, 12.
ἐπιστῆσαι 19, 9. 52, 27.
κατὰ τὴν ἐπίτασιν 65, 14. 66, 24.
ἐπιτείνεται 66, 3, 25.
ἐπιτηδειότης 4, 18. 11, 22.
ἐπιτηδευομένους 25, 9.
ἐρεσχελεῖν 61, 18.
εὔληπτος 35, 27.
ἐσχηκέναι ἔριδας 5, 20.
εὐρύνεσθαι 86, 5.
ἐφοδεύειν 81, 26.
ζωγράφημα 10, 11.
ζωοφύτων 59, 23.
ἡλίωσις 8, 6, 7.
ἧπερ 80, 11.
Ἡσίοδος 4, 6. 78, 6.
θεωρετικώτερον 65, 21.
Ἰάμβλιχος 5, 13.
ἰδίωμα 54, 1, 7.
ἱστώμεθα 78, 3.
καθηγητὰ 4, 6.
καθολικώτερον 35, 16.
καταβέβληνται ξυγγραφὰς 5, 13.
καταδοχὴν 62, 20.
καταλλήλως 86, 7.
κατηγορία 6, 10 seqq.
κίνησις 41, 7.
κομιδῇ γὰρ 50, 3.

κῦρος τῆς ἡγεμονίας 48, 2.
λεπτομερέστατον 67, 10.
μελανία 70, 27.
μὴν 5, 7. οὐ μὴν πω 20, 18.
μηνύσεως λεκτικῆς 18, 18.
μηνυτικὸς 73, 8.
μορφοῦσα 85, 16.
μορφωτικὴ 58, 8.
κατὰ τὴν νέμησιν 22, 20.
νοερὰ 49, 25.
ξενίζει τοῖς ὀνόμασι 6, 14.
ξενοφωνεῖ 7, 1.
ξερὸν 86, 14.
ξυλλαμβάνου τοῦ λόγου 5, 11.
ὁδεύειν 41, 17.
ὁδῷ προιόντων 21, 13.
ὀνοματοποιεῖν 7, 2.
ὅπερ ἐστὶν 65, 6, 9. 69, 8.
οὐσιώδης 35, 13. 71, 11. οὐσιωδῶς 29, 9.
οὐσιῶσθαι (?) 69, 25.
οὗτος. ταύταις (ταῖς?) ὑποθέσεσιν 49, 18.
παραδηλοῖ 80, 15.
παράθεσις 81, 18.
παραλλάξεις 66, 11.
παρέρχεσθαι 9, 13, 16.
πεπερατῶσθαι 81, 23.
Περιπατητικοὶ 55, 14.
Πίνδαρος 78, 11.
Πλάτων 83, 16.
Πλωτῖνος 5, 8. 43—5. 47, 6. 48, 20. 49, 6, 8. 50, 26. 51, 7, 26. 52, 10, 27. 53, 25. 55, 27. 71, 3, 23. 75, 4—20. 76, 11, 13. 78, 15. 80, 24. 83, 11, 16, 25. 84, 6. 85, 10, 26. οἱ ἀπὸ . . Πλωτίνου 79, 20.
ποίησις 85, 17.
πεποίωται 32, 24.
πόππυσμα 13, 16.
Πορφύριος 5, 13. 6, 17.
ποὺς τῶν ὅρων 50, 13. περὶ πόδα ποιεῖσθαι τὰς ἀκροάσεις 50, 29.
προηγεῖσθαι 13, 14. 18, 8, 9.
προηγούμενος 39, 20. 41, 2. 50, 3. 56, 7. 86, 8. προηγουμένως 7, 19. 9, 9. 11, 4. 13, 2. 14, 15. 21, 16. 38, 13. 52, 22. 76, 15.
προσδῆσαι λείποντι 5, 15.
προσδιορισμοὶ 14, 20.
προσεχέστατε 79, 13. προσεχῶς 8, 4. 82, 13.
προσμαρτυρεῖν 80, 21.
προφέρεσθαι 10, 2, 5, 20. προφέρειν (?) 10, 1. προενέγκασθαι 86, 12.
οἱ ἀπὸ Πυθαγόρου καὶ Πλωτίνου 79, 20.
πυθαγορικὸς 79, 13.
σημαντικὰ καὶ στατικὰ 7, 3.
σκόρδον 30, 13.
σοφισματώδης 24, 10.
στενοῦσθαι 86, 6.
Στωικοὶ 27, 4. 31, 4. 41, 21. 61, 17. οἱ ἀπὸ τῆς στοᾶς 28, 16.
συγκρίματος 48, 14.
συμμεταβάλλειν 68, 27.
συμπαραμείβει 27, 23.
συμπάρεστιν 8, 8.
συμπληροῦν 82, 10.
συμπληρωτικὸς 33, 15, 21. 58, 9. 59, 24, 28. 61, 13. 63, 24. 70, 4. 72, 7. 73, 26.
συμπλοκὴ 27, 6.
συμπεφορῆσθαι 71, 20. συμπεφορημένης 71, 9, 11. 72, 3.
συμπεφυκὼς 81, 12.
συναλλοιουμένην 60, 3. 66, 22.
συνανήρηται 80, 5. 75, 8. 82, 4.

*συναορεῖν* 78, 12.
*συναπαρτίζει* 52, 5.
*συναποδείκνυται* 21, 18.
*συνδετικὴν* 59, 55.
*συνεκδιδάσκων* 52, 5.
*συνεξισάζει τοῖς πράγμασι τὰ ὀνόματα* 6, 19.
*συνουσίωται* 69, 9.
*συνυφίστασθαι* 65, 22. *συνυφέστηκε* 8, 12. 85, 8. *συνυπέστη* 79, 23.
*συσσημαίνειν* 31, 11. 39, 11, 13, 14.
*συσσημαντικὸν* 12, 26.
*σωρεία* 81, 8.
*Σωσιγένης* 7, 21. 8, 21.
*ταυτότης* 64, 16.
*τερετίζειν* 11, 25.
*τερέτισμα* 13, 17.
*θήσομεν ἐν κατηγορίαις* 41, 14.
*τὸ τί ἦν εἶναι* 62, 5.
*τροφίμους τῆς ἐλπίδος* 78, 10.
*τύπωσις* 85, 16.
*τετύφωμαι* 5, 16.
*ἐὰν οὕτω τύχῃ* 9, 17.
*ὑπακουστέον* (*προσακουστέον* S.) 30, 5.
*ἡ ὕπαρξις* 22, 23.
*ὑπερπηδᾷς τοὺς ἄλλους* 4, 14.
*οἷον ὑποβάθρα* 53, 4. 70, 17.
*ὑπογραφὴ* 25, 17. 25, 1. 74, 6.
*ὑπογράψαι* 56, 24.
*ὑποκάτω* 33, 13, 16.
*ὑποσύνθετον* 14, 3.
*ὑπομνήσει καὶ ὑπογραφῇ* 74, 5.
*εἰς τὴν ἐσχάτην ὕφεσιν* 49, 17. 64, 1.
*φέρε* 69, 2—3.
*φιλοθεάμων* 14, 17.
*φιλονεικοῦντα* 81, 2.
*φιλοσοφημάτων* 51, 2.
*χαρακτηριστικῆς* 35, 17.
*χρείαν τοῦ λόγου* 18, 8, 16.

PA 3965 .D119 .E5 1859 C.1
Eis tas Aristotelous Kategoria
Stanford University Libraries
3 6105 035 573 042

PA
3965
.D119
.E5
1859

DATE DUE

STANFORD UNIVERSITY LIBRARIES
STANFORD, CALIFORNIA
94305